



GABRIELIS SEVERI

ET ALIORVM GRAECORVM RECENTIORVM

EPISTOLAE

IOANNES LAMIVS


Collegit, illuſtravit, edidit.



FLORENTIAE. MDCCLIV.
Ex Typographio PETRI CAIETANI VIVIANII.

Cum adprobatione.







CLARISSIMO ET ERVDITISSIMO VIRO

DOMINO DE LA CVRNE

SAINTE PALAIE

REGIAE PARISIENSIS ACADEMIAE

INSCRIPTIONVM ET BONARVM ARTIVM,

SOCIO CELEBERRIMO.

DOMINO MEO MAXIME HONORANDO.

ET AMICO VERO AC LIBERALI.

HOC QVALECVMQVE AMICITIAE

ET VENERATIONIS MONVMENTVM

IO. LAMIVS

DEDICO CONSECROQVE.



Vanta cum animi laetitia, quanta cum voluptate, TE licet absentem, immanique intervallo diremtum,



tum,

tum modo compellem & adloquar, VIR PRAESTANTISSIME, non nisi is intelligere potest, qui menti volucri, & quolibet eunti, praesentia omnia, & nota in primis atque iucunda, semper adesse perspicaciter comprehendit; quique penitus novit, quantum Gallicae nationis homines, & maxime Parisienses, cultu, elegantia, eruditione, ceteris hominibus praestent, & sua comi facilitate, & humanitate liberali, omnium amorem ac benevolentiam incredibiliter obligent, ac promereantur. At TU, VIR CLARISSIME, inter homines illos cultissimos & politissimos ita excellis, ut si oris comitatem, conloquii gratiam, nitidam orationis venustatem, subspiciam; nullum superiorem; si multiiugem

castigatamque eruditionem, doctas lucubrationes in vulgus proditas, opera bona fruge plena a TE scribi coepta, demirer; aequales paucos: si egregias animi virtutes, humanitatem singularem, amicitiam constantem, utilem liberalitatem, sinceram benevolentiam, mente revolvam; parem neminem, TIBI esse diiudicem. Memini, quum Florentiae versareris, quantis me amoris & benevolentiae argumentis suaviter devincires; quantas mihi de largo & exundanti TVI pectoris penu doctrinae opes prodige effunderes; quanta animi contentione, & studii sedulitate, libros quaereres, quaesitos evolveres, evolutos atque perlectos in memoriae thesauro alte penitusque reconderes. Quid de viris doctis,

 quos

quos adſidue conveniebas, dicam? Quid de codicibus manu exaratis, quorum rariores comparabas, eloquar? Quid de veterum Poetarum Provincialium carminibus undique a TE conquiſitis, atque deſcriptis, & publica luce olim donandis, pronunciem? Quid denique de ineditis monumentis, quibus Gallicam historiam locupletares, inveſtigatis diligenter, & cupide collectis, iam efferam? Quum per Italiam noſtram vagareris, inſtar illorum fluviorum eras, qui per montes auri argentique divites effluunt, atque una cum aquis pretioſa illa metalla, undecumque conradentes, ad mare evolvunt ac deferunt: ſic TV enim emenſam Italiam laudabiliter populatus, litterariis opibus onuſtus & ad-

fluens in Galliam Tuam reversus, popularium Tuorum laudem & plausum optimo iure meruisti. Sed quando Provincialium Poetarum, quos veros Poetas indigena ipsum nomen ostendit, *Inventores* peculiari adpellatione demonstrans, mentionem feci, dicam TIBI in primis propositum, vetustatis dilucidandae gratia, quotquot illorum opera & carmina exstant, casca illa lingua exarata, vulgare; & eorum vitas adiicere, quales Provinciali idiomate a fere συγχρόνοις Scriptoribus litterarum monumentis commendatae fuerunt; qualesque plures in Florentinis Bibliothecis adservantur; quas omnes, alibique etiam repertas, in Tuum usum describendas prudenter industrieque curavisti. Sed, etsi

pro-

procul a nobis profectus esses, & me praesentia Tua rebus ita ferentibus privavisses, non tamen vultus meus Tuo pectore lapsus est; sed initae amicitiae usque memor, me Lutetiae morans cum aliis beneficiis cumulare, tum munere peramplo & gratissimo, eximio scilicet *Orientis Christiani* opere, quo praecipue mihi opus esse sciebas, donare munificentissime voluisti. Ne igitur ingratus vivere omnino videar, hunc libellum TIBI nuncupare animum induxi meum, qui veluti anathema quoddam exstaret observantiae, & grati animi erga TE mei; quod quidem munusculum, etsi leve & exiguum, TIBI tamen haud iniucundum fore confido, dum quae in se complectatur ille considero. Episto-

ſtolae enim ſunt *Gabrielis Severi*, Philadelphiae Archiepiſcopi, Viri inter Graecos eruditione percelebris, aliorumque Graecorum recentiorum, haud amplius editae; erutae vero ex Codice MS. ſingulari Viri Cl. *Scipionis Maffeii*, Marchionis Veronenſis, & Collegae Tui perilluſtris, utpote Academiae Tuae Socii digniſſimi; ex quibus multa haurire eſt, quae ipſum *Orientem Chriſtianum* locupletent atque perficiant, & non parum ad Eccleſiae Graecae, iam prope conclamatae, hiſtoriam nobis proximiorem texendam conferant, aeque ac aliae a me editae *Maximi Margunii*, *Dionyſii Cateliani*, aliorumque illius gentis hominum eruditiorum Epiſtolae. Quum autem omnes nova delectent, quanam

hae

hae animum tuum voluptate perfundent, arcana monumenta, ignotosque ac latentes libros, adsidue investigantem venantemque prae ceteris; & obscuris illustrandis, abditis detegendis, insatiabiliter inhiantem? Nosse quoque delectabit, popularem Tuum *Rich. Simonium*, τὸν κριτικώτατον, in simili ferme arena desudasse, & alias eiusdem Philadelphiensis Metropolitae opuscula publici iuris iterum fecisse; meque Italum hominem eius vestigiis insistentem laudata quadam aemulatione cum eo decertare. Verum quidem est illum & Latinam suam interpretationem Graeco contextui adposuisse, & luculentis commentariis opuscula illa enarrasse; me autem Graece tantum hasce Epistolas exhibere, nullisque prope scholiis,

& ani-

& animadversionibus edisserere. At haec omnia in praesens tempus fortassis omisi, & alii libello reservavi, probe sciens, TE huiusmodi adiumentis praesidiisque non indigere, quum Graecis litteris adprime excultus sis, & Atticae Sapientiae adyta rite initiatus penitus subire consueveris. Et profecto qui Graecanica litteratura TE lateat, suavis, amabilis, iucundissima, qui nec hispida & inamoena barbari aevi studia horres ac refugis; & corruptas foedatasque Latinae linguae propagines, nominumque ac verborum, quae sequior aetas peperit ac procudit, originationes sedulo subtiliterque perquiris; & obscura incertaque vocabula interpretaris; Gallicumque idioma ex tot aliis coalitum

& co-

& coagmentatum illuſtras, ut tot ac tanta volumina de huiuſmodi argumento a TE conſcripta teſtantur? Vtinam tandem operoſa haec & erudita volumina publici iuris facias, ut tot gloſſemata, & ignota nomina, quae veteres Gallicos Scriptores, atros & tenebroſos efficiunt, manifeſtae demum ſignificationis adpareant, & librorum obſcuriſſimorum intelligentia iam pateat, atque opacis umbris involuta hiſtoriae fides legentibus clara & perſpecta referetur! Interea tamen unum praecipue velim a TE in hoc libello caſtigari & corrigi, vel ſaltem mature expendi, quod *pag.* 7. legitur, ubi in meo ſcholio me ambiguum traducere videor in ſubſcriptione illa Epiſtolae: Δοῦλος τῆς σῆς δεσποτείας Γαβειήλ

ὴλ ὁ Σεβῆρος Φιλαδελφίας ὁ ἐκ Μονεμβασίας. Ibi enim talem me praesto, quasi ignoraverim *Gabrielem Severum*, Epidaurum, Peloponnesi urbem, Monembasiam deinde adpellatam, patriam habuisse, id quod & *Leo Allatius*, & *Richard. Simonius* testantur. Ceterum quum subscriptio illa corrupta & interpolata fuerit a recentiore quodam, fortassis illud Φιλαδελφίας inepte adpositum fuit, quum anno MDXLVII. *Gabriel Severus* Archiepiscopus Philadelphiae nondum esset; & subscriptio ita se habere debet, ut videtur: Δοῦλος τῆς σῆς δεσποτείας Γαβριὴλ ὁ Σεβῆρος ὁ ἐκ Μονεμβασίας. At haec omnia Tuo subacto iudicio examinanda relinquo; interea, quaeso, aequi bonique consule, VIR DOCTISSIME, hoc qualecumque of-



CLARISSIMO ET ERVDITISSIMO VIRO

DOMINO DE LA CVRNE
SAINTE PALAIE

REGIAE PARISIENSIS ACADEMIAE
INSCRIPTIONVM ET BONARVM ARTIVM,
SOCIO CELEBERRIMO.
DOMINO MEO MAXIME HONORANDO.
ET AMICO VERO AC LIBERALI.
HOC QVALECVMQVE AMICITIAE
ET VENERATIONIS MONVMENTVM

IO. LAMIVS
DEDICO CONSECROQVE.



Vanta cum animi laetitia, quanta cum voluptate, TE licet absentem, immanique intervallo diremtum,



tum modo compellem & adloquar, VIR PRAESTANTISSIME, non nisi is intelligere poteſt, qui menti volucri, & quolibet eunti, praeſentia omnia, & nota in primis atque iucunda, ſemper adeſſe perſpicaciter comprehendit; quique penitus novit, quantum Gallicae nationis homines, & maxime Pariſienſes, cultu, elegantia, eruditione, ceteris hominibus praeſtent, & ſua comi facilitate, & humanitate liberali, omnium amorem ac benevolentiam incredibiliter obligent, ac promereantur. At TV, VIR CLARISSIME, inter homines illos cultiſſimos & politiſſimos ita excellis, ut ſi oris comitatem, conloquii gratiam, nitidam orationis venuſtatem, ſubſpiciam; nullum ſuperiorem: ſi multiiugem

castigatamque eruditionem, doctas lucubrationes in vulgus proditas, opera bona fruge plena a TE scribi coepta, demirer; aequales paucos: si egregias animi virtutes, humanitatem singularem, amicitiam constantem, utilem liberalitatem, sinceram benevolentiam, mente revolvam; parem neminem, TIBI esse diiudicem. Memini, quum Florentiae versareris, quantis me amoris & benevolentiae argumentis suaviter devincires; quantas mihi de largo & exundanti TVI pectoris penu doctrinae opes prodige effunderes; quanta animi contentione, & studii sedulitate, libros quaereres, quaesitos evolveres, evolutos atque perlectos in memoriae thesauro alte penitusque reconderes. Quid de viris doctis,

quos adſidue conveniebas, dicam? Quid de codicibus manu exaratis, quorum rariores comparabas, eloquar? Quid de veterum Poetarum Provincialium carminibus undique a Te conquiſitis, atque deſcriptis, & publica luce olim donandis, pronunciem? Quid denique de ineditis monumentis, quibus Gallicam hiſtoriam locupletares, inveſtigatis diligenter, & cupide collectis, iam efferam? Quum per Italiam noſtram vagareris, inſtar illorum fluviorum eras, qui per montes auri argentique divites effluunt, atque una cum aquis pretioſa illa metalla, undecumque conradentes, ad mare evolvunt ac deferunt: ſic Tu enim emenſam Italiam laudabiliter populatus, litterariis opibus onuſtus & ad-

fluens

fluens in Galliam Tuam reversus, popularium Tuorum laudem & plausum optimo iure meruisti. Sed quando Provincialium Poetarum, quos veros Poetas indigena ipsum nomen ostendit, *Inventores* peculiari adpellatione demonstrans, mentionem feci, dicam TIBI in primis propositum; vetustatis dilucidandae gratia, quotquot illorum opera & carmina exstant, casca illa lingua exarata, vulgare; & eorum vitas adiicere, quales Provinciali idiomate a fere συγχρόνοις Scriptoribus litterarum monumentis commendatae fuerunt; qualesque plures in Florentinis Bibliothecis adservantur; quas omnes, alibique etiam repertas, in Tuum usum describendas prudenter industrieque curavisti. Sed, etsi

pro-

procul a nobis profectus esses, & me praesentia Tua rebus ita ferentibus privavisses, non tamen vultus meus Tuo pectore lapsus est; sed initae amicitiae usque memor, me Lutetiae morans cum aliis beneficiis cumulare, tum munere peramplo & gratissimo, eximio scilicet *Orientis Christiani* opere, quo praecipue mihi opus esse sciebas, donare munificentissime voluisti. Ne igitur ingratus vivere omnino videar, hunc libellum Tibi nuncupare animum induxi meum, qui veluti anathema quoddam exstaret observantiae, & grati animi erga Te mei; quod quidem munusculum, etsi leve & exiguum, Tibi tamen haud iniucundum fore confido, dum quae in se complectatur ille considero. Epi-

sto-

ſtolae enim ſunt *Gabrielis Severi*, Philadelphiae Archiepiſcopi, Viri inter Graecos eruditione percelebris, aliorumque Graecorum recentiorum, haud amplius editae; erutae vero ex Codice MS. ſingulari Viri Cl. *Scipionis Maffeii*, Marchionis Veronenſis, & Collegae Tui perilluſtris, utpote Academiae Tuae Socii digniſſimi; ex quibus multa haurire eſt, quae ipſum *Orientem Chriſtianum* locupletent atque perficiant, & non parum ad Eccleſiae Graecae, iam prope conclamatae, hiſtoriam nobis proximiorem texendam conferant, aeque ac aliae a me editae *Maximi Margunii*, *Dionyſii Cateliani*, aliorumque illius gentis hominum eruditiorum Epiſtolae. Quum autem omnes nova delectent, quanam

hae

hae animum tuum voluptate perfundent, arcana monumenta, ignotosque ac latentes libros, adsidue investigantem venantemque prae ceteris;&obscuris illustrandis, abditis detegendis, insatiabiliter inhiantem? Nosse quoque delectabit, popularem Tuum *Rich. Simonium*, τὸν κριτικώτατον, in simili ferme arena desudasse, & alias eiusdem Philadelphiensis Metropolitae opuscula publici iuris iterum fecisse; meque Italum hominem eius vestigiis insistentem laudata quadam aemulatione cum eo decertare. Verum quidem est illum &Latinam suam interpretationem Graeco contextui adposuisse, & luculentis commentariis opuscula illa enarrasse; me autem Graece tantum hasce Epistolas exhibere, nullisque prope scholiis;

& ani-

& animadversionibus edisserere. At haec omnia in praesens tempus fortassis omisi, & alii libello reservavi, probe sciens, TE huiusmodi adiumentis praesidiisque non indigere, quum Graecis litteris adprime excultus sis, & Atticae Sapientiae adyta rite initiatus penitus subire consueveris. Et profecto qui Graecanica litteratura TE lateat, suavis, amabilis, iucundissima, qui nec hispida & inamoena barbari aevi studia horres ac refugis; & corruptas foedatasque Latinae linguae propagines, nominumque ac verborum, quae sequior aetas peperit ac procudit, originationes sedulo subtiliterque perquiris; & obscura incertaque vocabula interpretaris; Gallicumque idioma ex tot aliis coalitum

& co-

& coagmentatum illustras, ut tot ac tanta volumina de huiusmodi argumento a TE conscripta testantur? Vtinam tandem operosa haec & erudita volumina publici iuris facias, ut tot glossemata, & ignota nomina, quae veteres Gallicos Scriptores, atros & tenebrosos efficiunt, manifestae demum significationis adpareant, & librorum obscurissimorum intelligentia iam pateat, atque opacis umbris involuta historiae fides legentibus clara & perspecta referetur! Interea tamen unum praecipue velim a TE in hoc libello castigari & corrigi, vel saltem mature expendi, quod *pag.* 7. legitur, ubi in meo scholio me ambiguum traducere videor in subscriptione illa Epistolae: Δοῦλος τῆς σῆς δεσποτείας Γαβριὴλ

ὴλ ὁ Σεβῆρος Φιλαδελφίας ὁ ἐκ Μονεμβασίας. Ibi enim talem me praesto, quasi ignoraverim *Gabrielem Severum*, Epidaurum, Peloponnesi urbem, Monembasiam deinde adpellatam, patriam habuisse, id quod & *Leo Allatius*, & *Richard. Simonius* testantur. Ceterum quum subscriptio illa corrupta & interpolata fuerit a recentiore quodam, fortassis illud Φιλαδελφίας inepte adpositum fuit, quum anno MDXLVII. *Gabriel Severus* Archiepiscopus Philadelphiae nondum esset; & subscriptio ita se habere debet, ut videtur: Δοῦλος τῆς σῆς δεσποτείας Γαβριὴλ ὁ Σεβῆρος ὁ ἐκ Μονεμβασίας. At haec omnia Tuo subacto iudicio examinanda relinquo; interea, quaeso, aequi bonique consule, VIR DOCTISSIME, hoc qualecumque of-

officium, & meae venerationis argumentum; ex eoque intellige animum meum ad gratias TIBI referendas paratum & alacrem, si mea fortuna pateretur, vel Tua amplitudo requireret. Vale. Dabam Florentiae Idib. Septembr. Anno Domini MDCCXLIV.



ΓΑΒΡΙ-



ΓΑΒΡΙΗΛΟΥ ΤΟΥ ΣΕΒΗΡΟΥ ΕΠΙΣΤΟΛΑΙ.



Τῷ πανιερωτάτῳ κυρίῳ μακαρίῳ μητροπολίτῃ μονεμβασίας, γαβριὴλ ἱερομόναχος ὁ σεβῆρος εὐπράττειν.



Αρασκευαζομένων ἡμῶν ἤδη, πανιερώτατε δέσποτα, ἐς κρήτην ἀπάραι, ἤδη καὶ ὁ τοὺς οἴακας τῆς αὐτῆς ὑμῶν προέχων μητροπολίτης ἱερεμίας ἡμᾶς κατελάμβανε, μεθ' οὗ νύκτα συνεκάθευδον, οὐκ ἄνευ τοῦ σοφωτάτου μου καθηγητοῦ, ἤδη δ' οὖν ἀλλήλοις ἡμῶν διαλεγομένου οὐκ ὀλίγων λόγων λαβὰς, εὐθὺς ἐκεῖνος γράμμα ἡμῖν (οὐκ ἀληθῶς εἰδόσιν εἰ πατριαρχικὸν διατετέλεκεν ὄν) ἐνεχείρισεν, ὃ δὴ ἀνὰ χεῖρας ἔχοντες ἡμεῖς, ὑπὲρ τῆς σῆς ἐς ψόγον αἰδεσιμότητος διενέγκαμεν

ἤπερ ἀνδρὸς φθονερώτατοι, ὁ τὸν κριτὴν τὸν τοῖς λαλοῦσι τὸ ψεῦδος ὄλεθρον ἐπαγγελλόμενον δεδοικότες, τῇ σῇ πανιερώτητι ἀπηγγέλαντο, ἀλλ' εἰς ἡμῶν (μάρτυρ θεὸς) λισιτέλειαν, ᾠόμην γὰρ θεοδώρῳ τῷ μακαρίτῃ τῷ σεβηρῷ ἐκείνῳ, ὡς νομίσας ξυμφέρειν ἐπιδεῖξαι, βοηθῶσοι ὄντι καὐτῷ, ὡς καὶ ὁ ἀδελφὸς ἐκείνου διατετέλεκεν ὤν. κυθήροις δ' ἔπειτα προσοκείλαντες, τὰ ἱερεμίᾳ προεργασθέντα ἐς δημηξίου βασκηνάρη διαλεγόμεθα, τηνικαῦτα κἀγὼ τὸ προρηθὲν γράμμα ἀφθόνως καὶ ἀπαθῶς ἐκείνῳ προσέδειξα, μᾶλλόν γε πρὸς κατηγορίαν ἐκείνου, ἢ πρὸς ψόγον ἡμέτερον, ὡς οἱ φθονεροὶ ἀπηγγήλαντο, καὶ ὡς αὐτὸς οὗτος ὁ ἱερεμίας ἀνακυκῶσας τὰ πάντα κατεστρέψατο. τἀληθὲς μὲν οὖν οὕτως ἔχει, πανιερώτατε δέσποτα, ἐγὼ γὰρ οὔπω σε ἐπαινῶν θειότατε, πέπαυμαι, καὶ ἐς ἂν ὕδωρ ῥέοι καὶ δένδρεα μακρὰ τεθήλοι, καὶ ἥλιός τ' ανιὼν λάμποι, λαμπρά τε σελήνη, καὶ τὸν ὑπέρσοφον οὔποτε παύσομαι ὅμηρον. οὐδὲν γὰρ ἀεικὲς τῇ σῇ τελειότητι σύνοιδα, διὸ δὴ ἐπαινεῖν σε ὀφείλω, ὡς καὶ ὁσημέραι μάρτυς θεὸς ὁ πανάγαθος τὰς ἡμετέρας ἀγαθοεργίας καὶ ἀνακτίσεις καὶ τὰ τῇ ἡμῶν μητροπόλει ποιῆσαι σοι δόξοντα, καὶ τὰ ὑπερβαλλούσας σου χάριτας, θαυμάζειν καὶ ἐς ὕψος ἐπαίρειν οὐ πέπαυμαι, ἡμᾶς δὲ διαβάλλειν ἑκάστοτε πρὸς τὴν πανιερώτητα, ὡς αὐτόθεν ἀπόντας τῷ τυχόντι καὶ βουλομένῳ γε ἔξεστιν, ἔργον δ' ὑμέτερον ὡς ἂν ἦν κριτὴν δικαιό-

καιότατον μὴ ταῖς τῶν ὑπεναντίων διαβολαῖς πίθεσθαι, ἀλλὰ τὴν ἡμῶν ἐπανέλευσιν προσδοκόντα, ἐπὰν τὴν ἐνεγκαμένην καταλαβεῖν ἡμῖν γε προσγένηται. τότε τἀληθὲς ἀνιχνεύειν τε καὶ ψῆφον κατὰ τοῦ ὑστεροῦντος καὶ ἡττημένου, δι' ὧν ἄγειν. καὶ τούτων μὲν ἅλις, ἡμεῖς δὲ διὰ τῶν σῶν εἰλικρινῶν εὐχῶν, καθηγητῇ ὑπερσόφῳ ἐνετύχομεν, ὑφ' οὗ ὁσημέραι διδασκόμεθα, καὶ ἡμῖν ἀρκούντως παρέχει τὰ δέοντα. τὸ γηίνον γὰρ ἄρδειν ὁσημέραι οὐ παύεται, Θωμᾶν δὲ Ξιβηζάνον ὀνομάζουσι, ὥσπερ οἱ ἐντυγχάνοντες ἐν ἀκαρῇ χρόνῳ μετεμφιέννυνται, καὶ ἀντιφαστῶν θάνατον περιστεραὶ περιφαίνονται, ἀλλ' οὖν εἰ καὶ τοῦ κακοῦ τῆς ὑμετέρας ταννῦν ἐξεβλήθημεν πανιερώτητος, ὅμως παρακλήθητι, ποιμὴν ἀγαθὲ, μήποτε ἐπιλαθέσθαι ἡμῶν τῶν ἀείποτε μιμνημένων σου, καὶ τῶν ὧν ἀναστόμα ἑκάστοτε ὁ θαυμαστὸς καὶ γενναῖος μακάριος, σὰ γὰρ ἐσμὲν θρέμματα καὶ τὴν φωνὴν τοῦ ποιμενὸς οἴδαμεν, καὶ ἥπερ ἂν αὐτὸς ἡμᾶς προσκαλέσοιο, ἀόκνως σοι συνεψόμεθα. ἔρρωσο.

(1) Hanc Epiftolam, quum quando fcripta fuerit non conftet, heic temere collocavimus; nam alicubi collocanda erat.

Εἰς Καρδινάλην.

ΕΙ μὴ ἀναγκαίαις ἀσχολίαις τῇδε κατασχόμην, θειότατε καρδηνάλεων, οὐκ ἂν ἐπέστελ-

σεῖλον, ἀλλ᾽ αὐτὸς αὖ ἀφικόμην τὴν ἱερὰν σου ὀψόμενος κεφαλὴν, καὶ προσέτι γονυπετήσας (ὡς ἔθος δούλοις δεσπόταις) ἀσπάσασθαί σε τὸν ἄριστον καὶ φιλελληνικώτατον καρδηνάλεων, καὶ συγχαρῆναί σοι ἐπιβάντι ἤδη καὶ τῆς τῶν ἑλλήνων ἀρχῆς. τὸ μεγαλεῖον εἰς καὶ ἀξίωμα, ὅσον καὶ οἷον διετέλει ὄν; ἔξεστί σοι καὶ ὁρᾶν, καὶ ἀκούειν, ἀπότε διατάξεων καὶ προσαγμάτων τῶν ἀοιδίμων αὐτοκρατόρων τῆς ῥωμαίων ἡγεμονίας, προσέτι δὲ καὶ ἀπὸ θεσπισμάτων τῶν ἱερῶν ξυνόδων. ὑπέταξαν γὰρ αὐτῇ τῆς χριστιανῶν ἐκκλησίας, ὅσας δὴ καὶ κατέχει τὸ ἰλλυρικόν, ἤπειρος, ἀκαρνανία, ἀμβρακία, αἰτωλία, πελοπόννησος, βοιωτία, θετταλία τε ἅπασα, καὶ ἔτι μακεδονία, θράκη τε, καὶ μυσία, καὶ ἁπλῶς εἰπεῖν πάντα τὰ τῶν ὑπερβορέων ἔθνη. πρὸς δὲ τούτοις, ὅσας πόντος, καππαδοκία, φρυγία, ἀσία, βιθυνία, ἑλλήσποντος, κυκλάδων ῥόδος, καὶ κρήτη, ἵνα καὶ ποιητικῶς εἴποιμεν τιμήεσσα διὸς μεγάλοιο τιθήνα, καὶ ζάκυνθος, καὶ κεφαληνία, καὶ λιπαρὴ κέρκυρα φίλον πέδον ἀλκινόοιο, σικελία τε ξύμπασα, ἣν καὶ ῥώμης ταμεῖον οἱ παλαιοὶ τῶν ῥωμαίων οὐκ ἀπηξίωσαν καλεῖν. ὑπέκειντο δὲ καὶ ἄλλαι πολλαὶ πόλεις τε καὶ νῆσοι, ὧν τὰ ὀνόματα, φιλανθρωπότατε καρδινάλεων, ἀφίημι τανῦν ἐξεπίτηδες, ἵνα μὴ τοῖς πάντα ἀργυραμοιβικῶς ἀνιχνεύουσιν, εἰκότως ἂν ἀπειρόκαλοι φανείημεν, ἐν εἴδει ἐπιστολῆς φιλοτιμηθέντες χωρογραφεῖν, εἴ τε καὶ γεωγραφεῖν. ἀλλὰ ταῦτα μὲν, (σὴν χάριν,

ριν) διεξήλθομεν, αἰδεσιμώτατε κύριε, ὡς ἂν εἰδείης ὡς οὐ τῆς τυχούσης τῶν ἀρχῶν ἐπέβης. κατέχει γὰρ τὰ δεύτερεῖα, ἵνα μὴ εἴπω, ὡς οἱ πολλοὶ διϊσχυρίζονται καὶ τὰ ἴσα τῆς παλαιᾶς ῥώμης. βασιλεία δὲ καὶ ἱερωσύνη μέγιστα παρὰ θεῷ δῶρα τυγχάνουσι, καὶ τοσοῦτον ἱεροσύνη βασιλείας, ἐμὴν κρίσιν, μείζων, ὅσον ἡ μὲν τῶν θείων, ἡ δὲ τῶν ἀνθρωπίνων ἐπιμελεῖται. ὅτι ἡ τῶν μεγάλων φαρνεσίων οἰκία, καὶ πάλαι τῶν περιβλέπτων, καὶ ἐνδόξων ἐτύγχανεν οὖσα, οὐδεὶς ἂν ἀπαρνήσαιτο. καὶ νῦν εἰ τοῖς μεγίστοις τῶν ἐν ἀνθρώποις ἀξιωμάτων κοσμεῖται, καὶ λαμπρύνεται, οὐκ ἄπο τοῦ καθήκοντος τυγχάνει. πρέπει γὰρ τὰ ῥωμαίων ἀγαθὰ ἐπὶ τοὺς ἑαυτῶν εὐγενεῖς ἀπογόνους ἐπανακυλεῖσθαι. ὅτι δὲ καὶ ἡ ἱερωσύνη παρὰ τοῖς πάλαι ῥωμαίοις τε καὶ ἕλλησι, καὶ βαρβάροις ἐτύγχανε περιμάχητος καὶ αἰδέσιμος, οὐ πολλῶν σοι περὶ τούτου δεήσομεν μαρτυριῶν ἀλλ' ἢ δυοῖν ἢ καὶ τριῶν, καὶ ταῦτα τῶν μεγίστων αὐτοκρατόρων καὶ βασιλέων. ἀλέξανδρος γὰρ ὁ φιλίππου ὁ τὴν τῶν περσῶν μεγάλην ἀρχὴν καταλύσας καὶ τὴν καθ' ἡμᾶς ὀλίγου δεῖν οἰκουμένην τοῖς ἑαυτοῦ σκήπτροις ὑποτάξας, πεσὼν ἐπὶ γῆς τὸν μέγιστον παρὰ ἰουδαίοις ἀρχιερέα προσεκύνησε, καὶ τὸ παρ' ἑβραίοις ἔθνος, αἰδοῖ αὐτοῦ, οὐ μόνον ἐλεύθερον, ἀλλὰ καὶ αὐτόνομον ἀφῆκε. τί δὲ μωσῆς ἐκεῖνος καὶ ἀαρὼν ὁ μέγας, οὐχ ὁ μὲν στρατηγὸς, ὁ δ' ἕτερος μέγας ἀρχιερεύς; ὁ δὲ ἰούλιος καῖσαρ, ὁ διὰ πάσης με-

μεγάλας αὐτοῦ πράξεις Θεὸς ἐπονομάσθεις, οὐ πᾶσαν ἐνεδείξατο φιλοτιμίαν, καὶ βίαν ἐπὶ τῷ τυχεῖν τῆς ῥωμαίων μεγίστης ἀρχιερωσύνης, ἢ ἀγνοεῖς ὃν ἀπέρριψεν λόγον πρὸς τὴν ἑαυτοῦ πατέρα τῆς οἰκίας ἐξερχόμενος εἰπών, ὥσπερ σήμερον τὸν υἱὸν ἢ ἀρχιερέα ἢ φυγάδα ὄψει; ἀλλ᾽ ἐκεῖνος μὲν ἀνταγωνιζόμενος, πρὸς ἰσαυρικοὺς καὶ κάτλους, εἴτε βίᾳ εἴτε τινὶ ἄλλῳ τῶν φιλοτίμων χρησάμενος, ἐγκρατὴς ἐγένετο ὧν ἐφίετο. ὁ δὲ σὸς μακαριώτατος πάπας, οὐσίᾳ, οὐκ ἀνάγκῃ, ἀλλὰ κοινῇ πάντων τῶν ἀρίστων αἱρέσει καὶ νεύσει, καὶ τῆς βασιλείας καὶ τῆς ἀρχιερωσύνης ἐπέτυχε. ὅσον τοίνυν αἵρεσις βίας τιμιώτερον, τοσοῦτον κρείττων καίσαρος ἐκεῖνος, ὅσος εὐδαίμων παπᾶς. τί δαί; οἱ σοὶ φίλτατοι καὶ ὁμόψυχοι ἀδελφοί, οὐχ ἡγεμόνες; οὐ πρόεδροι τῆς μεγάλης τῶν ῥωμαιῶν πολιτείας; οὐ γαμβροὶ τῶν νῦν μεγίστων βασιλέων καὶ αὐτοκρατόρων; τί δαί; ὁ ξυνετώτατος, καὶ στρατηγικώτατος, ὁ μέγας λέγω τοῦ οὐρβίνου ἡγεμών, οὐ κηδεστὴς σὸς ἐπὶ τῇ νῦν νεογάμῳ καὶ καλλίστῃ καὶ σωφρονεστάτῃ σου ἀδελφῇ τυγχάνει ὤν, ἢ καὶ πάντ᾽ ἂν δέξαιτο, οἷς ὅμηρος ὁ θεῖος κοσμεῖν εἴωθεν ἐκείνας τὰς πάλαι σωφρονεστάτας ἡρωΐδας, καὶ τουτωνὶ κρείττονα καὶ λαμπρότερα ποιήσασθαι εἶχεν ἡ τύχη, κἀκείνων ἂν οὐκ ἄμοιραν ἀνέδειξε τὴν εὐγενῆ καὶ ἀοίδιμον οἰκίαν τῶν μεγάλων φαρνεσίων. ἐπεὶ τοίνυν οὔτε κρείττονα τῶν παρόντων ἀγαθῶν, οὔτ᾽ ἀτυχέστερα παρὰ τῇ τύχῃ εὑρεῖν οἷόν τε

ἐστὶ, οὐδ' ἐμοὶ, ὧν εἰρήκαμεν, δοκεῖ περαιτέρω εἰπεῖν. τὰς γὰρ παππώας ἀρετὰς, οὐ μόνον ἂν τῶν νῦν ὄντων μόγις, ἀλλὰ καὶ τῶν πώποτε ἐπὶ λόγοις ἐπιφανῶν κατ' ἀξίαν τις ὑμνήσει· διόπερ σιγῇ τιμάσθωσαν. καὶ ὁ λόγος μοι ἐς τόδε ὡρίσθω. τὴν δ' ὑπὸ πολυβίου βιβλίαντα εὑρισκομένην ἐπιτομὴν, ἀμβροσίῳ τῷ σῷ πιστοτάτῳ καὶ εὐνουστάτῳ θεράποντι δεδώκαμεν πέμψαι, ἵν' ἅμα μέν σοι εἴη καὶ δεῖγμα καὶ ἐνέχυρον τῆς ἐμῆς πρός σε καθαρᾶς καὶ εἰλικρινοῦς εὐνοίας. εὖ πράττοις ἀνδρῶν μοι ἄριστε. ἐξ ἐνετιῶν, μηνὸς μαιμακτηριῶνος ξίτῃ ἱσταμένου, ἔτους ξέχοντος ἀπὸ τῆς θεογονίας. αφμζ'.

Δοῦλος τῆς σῆς δεσποτείας Γαβριὴλ ὁ σεβῆρος φιλαδελφίας ὁ ἐκ μονεμβασίας. (1)

(1) Haec ſubſcriptio in textu archetypo corrupta & interpolata eſt recentiori manu, & nomen in ea *Gabrielis Severi* effictum, priori, quod inerat, eraſo; quamquam illud *ὁ ἐκ μονεμβ.* integrum intactumque eſt. Certe anno 1547. *Gabriel Severus* Archiepiſcopus Philadelphiae non erat, quum ex Epiſtolis ad eum ſcriptis nec anno quidem 1573. fuiſſe Archiepiſcopum liqueat; imo ex *Gerlachio* apud *Cruſium* ſciamus eum denium anno 1577. die XVIII. Novembris ab Ieremia Patriarcha Archiepiſcopum Philadelphiae ordinatum fuiſſe. Potuit tamen eſſe

Hieromonachus, si annosus decessit; nam ultra annum 1604 vixisse videtur: vel Patavii, ubi litteris operam dedit, tunc erat. Nescio eum Latinis umquam addictum fuisse. *Arsenii* Monembasiae Archiepiscopi esse non crediderim, quum vix forte hanc aetatem attigerit; nec subscriberet ὁ ἐκ μονεμβασίας, sed ὁ μονεμβασίας. Quicumque tamen hanc Epistolam scripserit, eam certe scripsit Cardinali *Rainuc. Farnesio*, qui ut videtur anno 1547. ad titularem Patriarchae Constantinopolitani dignitatem evectus est, quum anno antecedenti Cardinalis a *Paulo III.* Avo suo creatus fuisset, ut scribit *Onuphrius*. Erat is *Aloysii Farnesii* filius, & *Pauli III.* Nepos. Ex hac Epistola corrigi potest *Jo. Alb. Fabricius* qui huius Cardinalis Patriarchatum anno 1550. consignat.

Νικόλαος πρωτονοτάριος ὁ χωνιάτης γαβριὴλι τῷ σεβήρῳ.

ΤΟ' πρὸς ἡμᾶς σου πλῆρες ἐπαίνου γράμμα πάππος ὁ σὸς ἐναγχός μοι ἐνεχείρισε, καὶ δὴ τοῦτο ἀναγνοὺς τοιαῦτ' ἐφθεγξάμην, ὁ ἐμὸς γαβριὴλ ᾖσε παλινωδίαν, τοὺς γὰρ πρὸ μικροῦ ὀνειδισμοὺς τε καὶ ἐλέγχους, ἢ τἀληθὲς εἰπεῖν μέμψις τε καὶ λιδορία, ἃς ὑπ' ἐναγὼν ἀνθρωπισκῶν, συῶν ἐχόντων κεφαλὰς, καθ' ὅμηρον, φωνήντε δέμας καὶ τρίχας, καὶ τῆς πολυφαρμάκου κίρκης ποτοῦ ἐκπιόντων, καθ' ἡμῶν κινηθεὶς ἐγράψατο. νῦν δ' ὡς μεταβαλλόμενος, ἵνα μὴ παροιμιακῶς, ὡς κελὸς τὰ τροφεῖα ἀ-

πο-

ποτίσῃ, διενοήθη ὡς πρὸς φίλον ἥμαρτε, καὶ ἀντὶ τῶν προτέρων κατηγορειῶν καὶ μέμψεων, ἐγκώμιά τε καὶ ἐπαίνους προσήγαγε. ἀλλά γε δὴ ἴθι οὖν, πανιερώτατε ἄνερ, εἰ οὔπω θᾶττον οὐ μεταβάλλου, καὶ σαυτὸν ῥᾷσθ᾽ οὕτως οὐ μετέθου, οὐκ ἂν ἐξέφυγες τὴν ἐπὶ τροχοῦ κόλασιν. θεῶν δι᾽ ἐφετμίαν ἰξίονα φαντὶ ταῦτα βροτοῖς λέγειν ἐν πτερόεντι τροχῷ παντᾷ κυλινδόμενον τὸν εὐεργέτην ἀγὰν ἀμοιβαῖς ἐποιχομένους τίνεσθαι. ὅμως δ᾽ οὖν, ἐπεὶ ταῦθ᾽ οὕτως ἔχει, καὶ μεταμέλον σε ὁρῶντες, πόῤῥω που ἀποῤῥήψαντα τὰς πανδελτίας γνώμας, αἳ σε τοῦ καθήκοντος σχεδὸν παρεκτραπῆναι εἰργάσαντο. οὐκ ἔτι δεῖ ἡμᾶς ἄχθεσθαι, μηδὲ χόλον ποιητικῶς φάναι, ἐν θυμῷ θέμενον. οὕτω γὰρ δεδιδάγμεθα, οὐ δὲ μέχρι δυσμῶν ἡλίου χρὴ θυμὸν ἢ ὀργὴν φυλάττειν. ἀλλὰ τοὺς μὲν διαβάλλοντας σέ τε καὶ ἡμᾶς, οἷς κλῆρος τὰ βέλη τοῦ δυνατοῦ, κατὰ δαβίδ, σὺν τοῖς ἄνθραξι τοῖς ἐρημικοῖς ἐς κόρακας βαλλόμεθα, ἡμεῖς δ᾽ αὖθις εἰς τὸ ἑξῆς τὴν ἀνέκαθεν σχέσιν τε καὶ διάθεσιν ἀμετάβλητον καὶ ἀκραιφνῆν διατηρήσομεν. τῆς γὰρ σῆς πολυχρονίου παρ᾽ ἡμῖν ἀναστροφῆς τε καὶ διατριβῆς ὁ διάπυρος καὶ διακαὴς ἀείποτε ἔρως ἐξάπτει με. ὃν οὐδ᾽ ἂν ὁ πᾶς αἰὼν, οὔπω πέποιθα, καί σοι ἀσφαλίζομαι, δυνήσαιτο σβέσαι, καὶ ταῦτα μὲν ἐς τοσοῦτον: περὶ δὲ τῆς τῶν λόγων σου παιδείας, ἧς οὐδὲν οἶμαι τιμιώτερον, πρὸς τὸ τέλειον αὐτὴν κτήσασθαι, πάντα κάλων ἀνάσεις, καὶ πάντα πτερὸν

κεκινεῖ. οἶδας γὰρ οἶδας καλῶς, ὅσον ἰσχύει παιδεία τοῖς μετιοῦσιν αὐτήν. παιδεία γὰρ, κόσμον παρέχει καὶ ἀσφάλειαν. εὐτυχοῦσι μὲν κόσμος, ἀτυχοῦσι δὲ καταφύγιον. παιδεύσίς τε εἰς ἐπίγνωσιν ἀληθείας καὶ ἀγωγὴ σωτήριος. ὅθεν οὖν εἴδης καὶ τῆς σῆς ἀγχινοίας, κατὰ τὸ πινδαρικὸν ἔπος ἐκεῖνο, ὡς ἀγλαΐζεται καὶ μουσικῆς ἐν ἀώτῳ. οὕτω μὴ ἀπαναίνου, καὶ τὴν γλῶτταν ὅτι μάλιστα ἐξελληνίζειν, καὶ ἀποδιώκειν μακρὰν πᾶν βαρβαρῶδες καὶ ἄλογον, εἰ μέλλοι ἀνέκπλυτός σοι ἡ τοῦ ἀγαθοῦ παραμένειν δόξα, καὶ ἐκ δυνάμεως δύναμιν, καὶ ἀπὸ δόξης εἰς δόξαν ἐλθεῖν κατὰ τὸ ψαλτῴδημα. ἔρρωσο καὶ ἡμῶν μὴ ἐπιλάθου. μαιμακτηριῶνος φθίνοντος.

Νικόλαος πρωτονοτάριος ὁ χωνιάτης.

Εὐγνώμονάς σου πρὸς ἡμᾶς ὤμην εἶναι καὶ χάριν ὁμολογεῖν, καὶ δὴ δίκαιον εἴη, καὶ ἀντὶ χάριτας διαπράττεσθαι, ἀλλ' αὐτὸς, ἱερέων αἰδεσιμώτατε, οὐ μόνον ἀχαριστίαις, ἀλλ' ἐλέγχοις καὶ ὀνείδεσιν ἐκ τοῦ πλείονος τοὺς εὐεργέτας ἀμείψα. οὗ δὴ ἕνεκα, ἣν ἰάθην μάλ' ἔγωγε καὶ ἠγανάκτησα. τὸ μὲν, ὡς οὐ πολλοῦ χρόνου διεληλυθότος, ἐν οὐδενὶ λόγῳ ἔθου τὰ καθ' ἡμᾶς, ὃ τεκμήριον ἀγνωμοσύνης καὶ ἀκραιφνίου μεταβολῆς, τὸ δ' ὅτι πεισθεὶς σικοφαντίαις καὶ διαβολαῖς ἀνδρῶν ἐωθεσάτων,

μὴ

μὴ πρότερον ἀληθείας ἐρευνήσει χρησάμενος, αἰτίους ἡμᾶς (φεῦ τῆς ἀχαριςίας) τῆς σῆς ἀργίας καὶ τολμητὰς τῶν μὴ ἀνηκόντων ἡμῖν ἀποφαινόμενος διατελεῖς, ἐν τοιαύτῃ γοῦν σε προσεδόκουν φιλίᾳ συνηρμόσθαι. ὃς οὔτε τῆς γύγου σφενδόνης σὲ διαλύσει, οὔτε τοῦ μίδου μεταβαλεῖν ἰσχύσει χρῦσος μή τι γε πλοῦτος εἰπεῖν κροίσου. σὺ δὲ ἀγαθὲ, σαυτὸν οὕτως ἀπερικαλύπτως μεταθέμενος, καὶ τὴν γνώμην θᾶττον μεταβαλόμενος, καὶ ὡς ἄλλας σειρῆνας παραπλέων ὅλως ἐπιλάθου ἡμῶν, καὶ ὧν σοι ἀγαθῶν γεγενήμεθα αἴτιοι. καὶ οὐ τόσον τῆς σῆς λήθης καὶ ἀμνημοσύνης δυσχεραίνω, ὅσον τὰς οὐκ ἀληθεῖς διαβολὰς, ἀληθὲς ἀναμφιλέκτως καὶ ἀνενδιάςως ἀναφαίνεις, καὶ τὸ τοῦ πλάτωνος πρὸς τὸν σωκράτην, σαυτῷ συνασπίζον παραςησάμενος. γνώσῃ δ' οὐκ εἰς μακρὰν συκίνων τοῦτο ἐπικουρίαν, ὃ δὴ λέγεται προβληματισάμενος εἰ πέπεισαι τοίνυν, τοιοῦτον εἶναί με, ὁποῖον οἱ διαβάλλοντες εἰσάγουσιν, πολὺ τῆς ἀληθείας ἁμαρτάνεις, οὐ τοσοῦτον οὖν ἡμεῖς, φίλη κεφαλὴ, ἀναιδεῖς καὶ ἀπαίδευτοι ὡς ἀπροόπτως κατατολμᾶν τῶν μὴ προσηκόντων ἡμῖν, ἡ γὰρ ἀνέκαθεν ἡμῶν διαγωγὴ καὶ πολιτεία, σοί τε δήλη πρῶτον, εἶτα καὶ τοῖς τὸ ἐμὸν ἦθος δυναμένοις διακρίνειν, οὐ κομπάζω, οὐδὲ μεγαλαυχούμενος, ταῦτ' ἀγορεύω, ἄπαγε, ἀλλ' ἵνα μὴ τὸ ψεῦδος ἐν ἰσχύσει τῆς ἀληθείας, ὡς καὶ σοῦ, φίλτατε, κατίσχυσε ὁ φθόνος καὶ τὰ ψεύδη, τὴν γνώ-

μην διαφθειρόντων συκοφαντῶν, καὶ κατὰ τοῦ σοῦ τροφέως ὀνειδισμούς τε καὶ ἐλέγχους ἐξηρεύξω. οὐκ ἐν φρεσὶ ὅλως ἐνθεὶς ἐκεῖνο τὸ τοῦ Θουκυδίδου, τὸ, διαβολὰς οὐ σώφρων, οὔτε λέγειν οὔτε ἀκούειν ἀποδέχεται, οὔτε τοῦ κλεάνθους κακουργότερον οὐδὲν διαβολῆς ἐστί πω. λάθρα γὰρ ἀπατήσασα τὸν πεπεισμένον, μῖσος ἀναπλάττει πρὸς τὸν οὐδὲν ἀναίτιον. πρὸς ἐπὶ τούτοις, οὐ δὴ τῆς τέννου νομοθεσίας, καὶ σόλωνος πρὸς τοὺς δικαστὰς ἔνορκον, τὸ ἀμφοῖν ὁμοίως δεῖν ἀκροᾶσθαι. εἰ μή τε δίκην δικάσης πρὶν ἀμφοῖν μῦθον ἀκούσης. ἀλλ' ἀνέτως, ὡς ἄλλος ὁ τῆς φρυγίας βασιλεὺς, τὰς ἀκοὰς τοῖς κατηγοροῦσι καὶ διαβάλλουσι παρέχων, ἡμῖν δὲ ἀπολογίας χώραν οὐδὲν τὸ σύνολον κατέλιπον. καί τοι γε οὐ θέμις ἦν, ποθεινότατε, καθ' ἡμῶν τοιαῦτα γράφειν καὶ ἀγορεύειν τῶν ἐξ ἁπαλῶν ὀνύχων πρός τε παιδείαν, ἤθη τε χρηστὰ, καὶ πρᾶξιν θεάρεστον διεγειράντων. ἀλλ' ἔδει σε τρόφιμον ὄντα λόγων, τὸν περὶ τὰ τοιαῦτα τῶν σοφῶν τρόπον μιμεῖσθαι, καὶ μὴ ὅτι δάκνεσθαι, ἢ καὶ ὁποσοῦν πιστεύειν ταῖς τῶν συκοφάντων καὶ φιλολοιδόρων ψευδολογίαις, ὑφ' ὧν κατὰ τὸν εἰπόντα, πατέρες κατὰ παίδων ἐξεμάνησαν, καὶ ἀδελφοὶ κατὰ ὁμογενῶν, καὶ παῖδες κατὰ τῶν γεινομένων. ὅμως δ' οὖν, πάντα ταῦτα χαίρειν ἐάσωμεν, εἴτε ἐξ ἀγνοίας χρὴ λέγειν, εἴτε τῆς ἀκαταμαχήτου λήθης ἐξήρτηται. τῶν γὰρ πεπραγμένων ἔνδικα τε καὶ παραδίκων, ἀποίητον οὐδ' ἂν χρόνος ὁ πάν-

των

τῶν πατὴρ δύναιτο θέμεν ἔργων τέλος, ἔφη ὁ μουσοποιὸς πίνδαρος. ἡγοῦ δὲ ἡμᾶς, τὴν γὰρ χάριν δεῖ ἀμεταμέλητον εἶναι, καὶ ἀσφαλέστατα πίστευσε φίλους σοι γνησίους καὶ ὁμοψύχους, καὶ τὰ βελτίω βουλομένους τέ σοι καὶ συνευχομένους, καὶ πρὶν, καὶ νῦν ἤδη μάλιστα, καὶ διὰ βίου παντός. ὅπερ ὄντως καὶ τὸ ἀγαπᾶν σε δι' ἔργων ἐδείξαμεν, καὶ μέν τοι δεικνύομεν, οὐ μόνον πρὸς σὲ, ἀλλὰ καὶ πρὸς τοὺς σοὺς, ὅση δύναμις, ἀγχιστάς τε καὶ συγγενεῖς. πλὴν δ' οὖν ἔτι τοῦτό σοι παραινῶ, μὴ οὕτω ῥαδίως οὓ λέγω περὶ ἡμῶν, οὐ φροντὶς ὅ φασιν ἱπποκλείδου περιπίπτῃς ταῖς κατὰ τῶν συνήθων καὶ φίλων διαβολαῖς. ἀλλὰ τοὺς λάθρα τοῦ πλησίου καταλαλοῦντας, καὶ ὅ δρῶσιν αὐτοὶ, τοῦτ' ἄλλοις περιάπτειν πειρομένους, τούτους κατὰ δαβὶδ ἐκδίωκε, ἀσινῆς τὴν γνώμην τοῖς φίλοις καθάπαξ διατηρῶν. ἔῤῥωσο, καὶ ἡμῶν μὴ ἀμνημόνευε. ἑκατομβαιῶνος ἡ φθίνοντος.

Ἐγὼ συμφοιτήτης σου νικόλαος ζέβερνος
ἡδέως ἀσπάζομαι τὴν σὴν ἁγιωσύνην

ΛΙθον κίνει φησὶν ἡ παροιμία, ὡς παίδων τε καὶ ἀδελφῶν μοι ἐν ἱερομονάχοις Γαβριὴλ παμφίλτατε. τὸ κατ' ἐμὲ δὲ ὅσον λέγω, ἐπείπερ παρὰ πολλῶν καὶ πολλάκις πάνυ γε τὴν σὴν πιστωθεὶς ἀρετὴν, καὶ τὴν κατὰ θεὸν σου χρηστὴν τρίβον, οὔπω προσεπι-

κα-

γράψαι σοι πέφθακα. τῇ ῥαθυμίᾳ δεινῇ γε οὔσῃ καθυπαχθεὶς, ἀλλ' οὔγε δὴ ταύτην μακράνπως χαίρειν ἐάσας, γράφω, οὐ δῶρά σοι, μή τε λόγους πέμπων ἁπλῶς ἀλλ' εὐχὰς, ἃς παρὰ μόνου τοῦ τῶν φώτων πατρὸς αἰτήσας τύχων, ὡς ἀπὸ χρυσοῦ εἰς χρυσὸν, ἐξ ἀρετῆς εἰς ἀρετὴν, καὶ ἀπὸ δόξης εἰς δόξαν διαπαντὸς μέχρι μοι τοῦ ζῆν ἔνεστι ἀκούοιμί σε μεταβεβλῆσθαι εἶεν, δὸς σαυτόν τινι κόπῳ καὶ περὶ οὗ τὰ πλεῖστα ἤδη διατελῶ ἐφιέμενος παρακαλῶ, εἴπερ καὶ σύ με φιλῆς. τῶν διδαχῶν τοῦ πάλαι κυρίου ἀρσενίου τὸν στύλον, ἔχω χρείαν ἰδεῖν. σὺ δὲ ἄριστέ μοι ὑμῶν ἐὰν κοπιάσας ταύτας μοι γράψαι, οὐ μόνον τὸν πρέποντα παρ' ἐμοῦ μισθὸν ἕξεις, ἀλλὰ καὶ πλείστας τότε ὁμολογήσω αὖ σοι τὰς χάριτας, ὁρίζοντί με καὶ τῶν παρ' ἡμῖν εἴ τι δέῃ ὡς οἰκειότατον σόν. ἔῤῥωσο, καὶ διαπαντὸς εὐτύχει ἐν ἁγίῳ πνεύματι. ἰωάννης θύτης ὁ ναθαναήλ. αφξς' φευρουαρίου ιζ', ἐκ ῥυθείμνης.

Εμμανουὴλ ὁ πήγας τῷ ὁσιωτάτῳ ἐν ἱερομονάχοις γαβριὴλ τῷ σεβήρῳ χαίρειν.

ΟΡᾷς οἷα πράττεις, ὦ φίλη μοι κεφαλή; ἐμὲ γὰρ καὶ ἀπροαιρέτως σχεδὸν εἰπεῖν καὶ βιαίως γράψαι τοιαῦτα ἐπιστέλλων ἠνάγκασας. ἐγὼ γὰρ τὼ ὀφθαλμὼ πονήρως ἔχω, καὶ πάνυ ῥευματιζομένω καθ' ἑκάστην, καὶ μηδὲ μικρὸν

γοῦν

γοῦν ἐμφιλοχωρεῖν πῶς τινι ἀναγνώσει κἂν διαγωγῆς ἕνεκα, μή πωγε σπουδάζειν τι τῶν ἀναγκαίων παρεχομένῳ. τοιαῦτα γάρ μοι οἱ τὰ πάντα ὑπισχνούμενοι ἰατρῶν παῖδες ὁσημέραι κελεύονται καὶ ἐκ προστάγματος τό γ' ἐμοὶ εἰπεῖν μόνον οἱανοῦν νόσον ἰατρεύοντες, ἢ μᾶλλον εἰπεῖν, ἰατρεύειν φαινόμενοι, καὶ δόσεις μὲν ποικίλους, φάρμακα παντοῖα παρασκευάζοντες, οὐδὲν μέρος δὲ νόσου θεραπεύοντες. τοιαῦτα μὲν τὰ κατ' ἐμέ, ὦ θεῖε γαβριῆλε, ἐξ ὧν εἴσῃ, καὶ ὅτι οὐδ' ἑκὼν καθυφίεμαι, οὐδ' ὡς ἀμελῶν τῶν φίλων καὶ σοῦγε μάλιστα, μάθοις δ' ἂν κάλλιον χθὲς ὡς δι' ἐμοῦ σοι ὁ κύριος συμεὼν γέγραφε, σὺ δ' ὑγιαίνοις μοι, καὶ πρεσβεύοις ὑπὲρ ἐμοῦ πρὸς κύριον καὶ συγγινώσκοις μοι μικρὰ ἐπιστέλλοντι, τὸ πάθος ἀλλ' οὐκ ἐμὲ εἰκότως αἰτιώμενος. ἔρρωσο, ἐκ παταβίου νοεμβρίου πέμπτῃ φθίνοντος.

Γαβριὴλ ἐμμανουήλῳ.

ΕΠεὶ μὲν οὕτως ἔχων διατελεῖς, φίλ' ἐμοὶ μανουῆλε, εἰς τὸ γράφειν δὲ οὐκ ἀναβάλλου, μήτε τῆς νόσου ἀκηδίαν τινὰ ἢ ῥᾳστώνην ἡμῖν ἐπιδειξάμενος, τοὺς εἰλικρινοῦς τῷ ὄντι τῶν φίλων πάντας ὑπερεκόντισας, καὶ μόνος σχεδὸν τὰ 'κείνων ἆθλα ἤρου. τίς γὰρ οὑτωσὶ πάσχων ταῦτα τῶν μορίων τοῦ σώματος τὸ κάλλιστον, οὐκ ἂν τὸ αὐτοῦ μονονουχί, ἢ τῶν ἄλλων ἐφρόν-

τιζε; αὐτὸς τῆς νόσου καὶ τῆς ἀλγηδῶνας ὑπερφρονήσας, καὶ μᾶλλον τὸν σύνδεσμον τῆς φιλίας δῆσαι προαιρούμενος. τίς ἂν τὸν κατ' ἀξίαν ἐπαίνων προσενέγκοιεν. ὅθεν καὶ ἡμεῖς καθ' ὑπερβολὴν νὴ τοὺς λόγους ἠλγήσαμεν τῶν σῶν ἀκούσαντες. γεγονὸς σοι (ὡς κοινὸν γὰρ πάντηγε οἰόμεθα) καὶ οὐχ ἧττον νόσου τὸ σιμβὰν λογιούμεθα νόμιζε, ἀλλ' εἴπερ τινὰ τῶν τὴν θεραπείαν σοι δοῦναι ἠπιστάμην, ὑπισχνοίμην ἂν αὐτῷ εἰ δυνατὸν καὶ τιμὴν αἵματος. ἀλλ' ἐπεὶ οὐχ οἷος τε ὢν πρός τ' οὐμὸν μέλημα, τοῦτο γὰρ ἔδει ποιῆσαίμι, καὶ μὴν ἡδίω παραπολὺ ἀφικέσθαι. συγγνωτέον, καὶ ταῖς τῆς ἐκκλησίας φροντίσι, καὶ ταῖς τοῦ λαοῦ ἤδη ἐξομολογήσεσι αἴτιον ἀποδοτέον.

Τῷ εὐλαβεστάτῳ καὶ σοφωτάτῳ ἐν ἱερομονάχοις κυρίῳ γαβριὴλῳ τῷ σεβηρῷ πατρὶ ἐν κυρίῳ τιμιωτάτῳ μελέτιος ὁ μοναχὸς παρὰ κυρίου παντοκράτορος παράκλησιν καὶ σωτηρίαν.

Ἐπετυχόν σου τῆς ἐπιστολῆς, ὦ θεία καὶ τιμία μοι κεφαλὴ, δι' ἧς ἡμῖν τὸν θάνατον ἐγνώρισας τοῦ ἡμετέρου ἀδελφοῦ, ἐν ᾧ ἅμα καὶ τὸ φιλόστοργον καὶ εὔσπλαγχνον τῆς φύσεως ἀπέφηνας, καὶ τῆς ἀνωτέρας φιλοσοφίας τὸ στερρεόν. οὔτε τὸν ἀπελθόντα (τὸ τοῦ θεολόγου φάναι) πλέον θρηνῶν, ἢ καλῶς ἔχει, καὶ πρὸς τοῦ μεγάλου θεοῦ παράκλησιν καὶ λαμβάνων,

καὶ

ϰ̀ προσδοκῶν. λαμβάνων μὲν νῦν τῆς ἀσθενείας τῆς σαρκὸς εἰς πάθη τὴν ψυχὴν ἐφελκούσης ϰ̀ διὰ τοῦτο ἐνδεοῦς τυγχανούσης οὔσης παραμυθείας. προσδοκῶν δὲ τὸ τέλειον, ὅ ποτε τὴν ἀφθαρσίαν περιτιθέμενος, τῇ ἀπαθείᾳ ἀναλάμψῃ, ἧς νῦν ὁ ἡμέτερος ἀδελφὸς περιαυγάζεται ταῖς ἀκτῖσι ἐκ τῆς μικρᾶς ταύτης παροικίας, εἰς τὴν κατοικίαν μεταθέμενος, ὅθεν ἡμᾶς ἐλεᾷ ἴσως τῆς τοῦ βίου ζικυμίας πανταχόθεν εἰροῦ ἐπανισταμένης, καὶ πάντοθεν ναυάγιον ἀπειλούσης. ἧς τοὺς ἀπαλλαγμένους μακαριστέον ἔγωγε φαίη ἂν μᾶλλον ἢ θρηνητέον, καὶ ταῦτα τὸ μυστήριον τοῦ θανάτου εἰδὼς εἰς οἷον ἐξ οἵου τοὺς εὐσεβεῖς βίον διαπορθμεύει. λυπεῖ μὲν ἡ σὰρξ τῆς σαρκὸς ἀποξενεχθῆσα τῶν ἀπελθόντων τοὺς ἀπελθεῖν μέλλοντας, ἀλλὰ παραμυθήτω τὸ πνεῦμα τοῖς ἀπερχομένοις συναπερχόμενον τῇ διανοίᾳ καὶ συμμετέχον τῆς ἀπολαύσεως τῶν αἰωνίων. ὑποχωροῦν γοῦν ϰ̀ ἐφυσηχάζον τῇ διατάξει τοῦ μεγάλου θεοῦ τοῦ τῇ ζωῇ ἄρια τιθεμένου πάντες γὰρ ὀφείλομεν θάνατον, ἀλλὰ ταῦτα μὲν ἡμεῖς γράφοντες γλαύκας ἐς ἀθήνας, ὁ δὲ θεὸς ϰ̀ πάσης πατὴρ παρακλήσεως παραμυθήσειε τὴν θείαν ϰ̀ ἱερὰν σου κεφαλήν. σῶαν συντηρῶν εἰς θ᾽ ἡμετέρας ϰ̀ εἰς ὠφέλειαν πολλῶν. περὶ δὲ περιφανεστάτου μουδάτζου ὅ μοι ἐνετείλας σπουδαῖος μάλα ἐτέλεσα. ὁλοψύχως γὰρ διὰ τῶν συνδεδεμένων μου γραμμάτων ἀνατέθεικα τὸν ἠγαπημένον μου διδάσκαλόν τε ϰ̀ πατέρα.

 ρα.

ρα. ἔχω δὲ καὶ οὐ μικρὰς ἐλπίδας ἔσεσθαι ἐκεῖνον πρὸς ἡμᾶς καὶ δι' ἐμὲ σπουδαιότερον. ἔρρωσο, τιμιώτατε πάτερ, καὶ ἡμῶν ἐν ταῖς πρὸς τὸν θεόν σου ἐντεύξεσι μνημόνευε. τὸν εὐσέβιον πέπομφε τῷ εὐλαβεστάτῳ ἱερομονάχῳ μαξίμῳ, ὥσπερ μοι ἐπέξεψας διὰ τοῦ σοῦ πρώτου γράμματος.

Ἰωάννης ἱερεὺς ὁ ναθαναὴλ τῷ ἐν μοναχοῖς ἱερεῖ γαβριὴλ τῷ σεβηρῷ χαίρειν.

ΙΝα τί περίλυπος εἶ, ἵνα τί συνταράσσεις με φησὶν ὁ προφήτης, οὐχ ἧττον δέ μοι ταυτὸ λυπουμένῳ καὶ ἀθυμοῦντι πεφυκὸς ἔοικε, γαβριὴλ ἐμοὶ τέκνων παμφίλτατε, τὸ μὲν, ὡς ἅπαξ καὶ δὶς γραμμάτων ἀποληθέντων σοι παρ' ἐμοῦ, μηδαμῶς ὑπὸ σοῦ κἂν ψιλοῦ τοῦ χαῖρε κατηξιώθην. ὅπερ λήθης ὀλιγωρίας τε μᾶλλον σημεῖον εἶναί μοι κατεψήφισα. τὸ δὲ, ὡς ἐλπίδος λαβὴν ἐλαχίστης ἐπιγνοὺς ἐφ' ἐμὲ κατέχειν οὐτινοσοῦν ἐπ' ἄκραν ἡρμοσμένον φιλίαν. ἀλλ' ὅμως δέξαι καὶ ταύτην ἣν ἀνὰ χεῖρας λαβὼν, μὴ ἀποσκυβαλίσῃς οἷα δὴ καὶ τὰς προτέρας, ἀλλὰ ταύτης τε κἀκείνων τὴν ἀντίδωσιν χορηγῶν, κεχαρισμένον λίαν ἔργον μοι ἐκτελέσαις. οὐ μὴν δὲ ἀλλὰ καὶ καθ' ἡμᾶς τοὺς φίλους, ὅπως διάγουσι εἴπερ τοῦτο φιλεῖς, δίελθε, ἐσμὲν γὰρ καὶ ἡμεῖς σὺν θεῷ ὑγιαίνοντες μετὰ τοῦ υἱοῦ, τὰ πατρῷα ἡμῶν ἔθη καὶ ὅσια μὴ ἀποβάλλοντες, μονονουχὶ δὲ παρ' ὅλων ἀντιφιλούμενοι, κἂν ἐνταυθὶ μήτ' ἐγεννήθημεν, οὔτε

μὲν

μὲν αὐτοῖς συνεξάφημεν, τὸν ἐξ ἰωαννίνων καὶ ἀγαθὸν ἱερομόναχον τὸν ἰωανὰν, καὶ πάντας τοὺς λοιποὺς τῶν φίλων ὡς ἀπ' ἐμοῦ πρόσειπε. πέποιθα εἰς θεὸν, ὡς τάχιστά με παρ' ὑμῖν ἕξοιτε χαίροντα. μάλιστα δέπως εἴπερ γινίκη καὶ τοῖς χριστιανοῖς τῷ θεῷ δωρηθείη. ἀπὸ ῥώμης αφοβ', ὀκτωβρίῳ κ'.

Τῷ ἐν πατράσιν ὁ σοφωτάτῳ, καὶ ἐν ἱερομονάχοις αἰδεσιμωτάτῳ, κυρίῳ γαβριήλῳ, ἀνδρέας ὁ σπαῦρας ἐν κυρίῳ χαίρειν.

ΟΙ πρὸς τὸ μέλι ἔχοντες ὡς τοὺς τῶν ἡδέων φίλους εἰκὸς, οὐδὶ ἦν ποτεν εἰς πικρὰν αὐτοῖς τὸ γλυκὺ παρεχηματίσαι (λέγω δ' ἐφ' ὅσον τὰ ἡλκωμένα δάκνει καὶ καθαίρει) δυσχεραίνουσίτε καὶ μεθίσανται, ἀλλὰ μᾶλλον ὑπερφιλοῦσί τε καὶ ἀντιποιοῦνται. τί δέμοι βούλεται τὸ μέλι ἐπισαγόμενον; καὶ τίνος χάριν τοιούτῳτινὶ προοιμίῳ ἐξεβακχεύθην, ἐκ ἄνευ λόγου (εἰ τῆς σῆς πάντως μνήμων πέφυκας ἐπιστολῆς) τοιετωτίμε ἐνάρξασθαι ἴσθι. τῆς σῆς γάρ με δακνούσης τὴν καρδίαν, καὶ οἷα μέλι τὴν ψυχήν μου ἀποκαθαιρούσης, οὐ τοσοῦτον ἡδύ μοι, ὅτι τῆς φιλίας τὸ ἔργον ὀρθῶς ἐπραγματεύσατο, τῆς κολακίας μακρὰν ἀπολείπεσθαι ἔδοξεν, ὡς γὰρ ἀληθὴς καὶ φιλικὴ παρρησία τοῖς ἁμαρτανομένοις ἐπεφύετο, ὅσον μοι καὶ πικρὰ τοιαύτην μὴ ἄγκλοισιν καταψηφίζουσα παρεφάνη. πῶς γὰρ ἐγώ γε σοῖο λαθοίμην, ἵν' οὕτως εἴπω, ὁ καὶ τῆς σῆς γλώτ-

της

της τῷ ῥεύματι ὑπέχων τὰς ἀκοάς, ἀλλ' οὐκ ἐγὼ τοῦ τοιούτου πταίσματος ἔνοχός εἰμι νὴ τὸν φίλιον, ἀλλ' ἴσως οἱ τῇ σῇ οὐκ ἀποδόσαντες αἰδεσιμότητι τὰς ἐπιςολάς, ὥς τε με τοιαῦτ' ἀδοκοῦντων πολλάκις τὴν ὄρεξιν λελυπήκασιν. ἀλλὰ τίνος χάριν οὐ πλείους ἢ συνεχῶς ἔγραψας; ὁ τῆς τεκούσης με θάνατος ὠφιλέτης αἴτιος, ὁ καὶ πολλῶν μοι ἀχολιῶν γεγονὼς απαίσιος ἀπαρχή. ἐκείνου γὰρ οὕπω τοῦ σώματος ἡ ψυχὴ ἐκεχωρήκει, ἡμῶν δὲ σχεδὸν τὸ σῶμα τῆς ψυχῆς ἀπενοσφίσθη, ψυχὴ τοῦ σώματος οὐχ ὑπερβαίνει τοῦτο δὲ λέγω, ὡς μᾶλλον τὰς σωματικὰς ἐν νῷ ἔχοντες πράξεις, ἢ πρὸς τὰς τῆς ψυχῆς ἀφορώμενος θεωρίας. καὶ τούτου χάριν ἄφωνος μόνον οὐκ ἂν τοὺς φίλους καὶ ἄτολμος γέγονα. ὅμως σοῦ νὴ τὸν φίλιον οὔτε νῦν οὔτ' ἐς τὸ ἐπερχόμενον οὔτ' ἔλαβεν οὔτε λήψει λήθη, ἵνα δέσοι καὶ κατὰ τὸν ποιητὴν εἴπω, ἐς ἂν ὕδωρ τε ῥέει καὶ δένδρεα μακρὰ τεθήλει, ἠέλιός τ' ἀνιὼν λάμπει, λαμπρά τε σελήνη. τὸ πάντασου τῆς ἐπιςολῆς, ὅ, τε ῥύθμος καὶ ἡ τῆς ἰσορίας πυκνότης, ἐχῆμά μοι διηκοιᾶς διαρίθμητον ἐνέβαλλε, ἀλλ' ὡς ἡδυάμοι οἷα μέλι καθέςηκε. οὐκ ὀλίγης μέντοιμε ἔμπλεων ἐποίησε τὸ περὶ τῶν σαυτοῦ ἔργοντι γράψαι ἀπαξιώσασθαι. ἔδει γὰρ, εἰ καλῶς ἴσμεν, τοὺς φίλους τὰς ἀλλήλων πράξεις καὶ ἀπεύσας ὡς παρούσας ὅμως ἔχειν, καὶ μίαν ὥσπερ ψυχὴν ἐν ἑνὶ τοὺς δυο σώματι οἰκεῖν. ἡ γὰρ φιλία κατ' ἀριςοτέλη μία ψυχὴ ἐν δύω σώμασιν οἰκοῦ-

σα

σα πέφυκε. διόπερ εἰ καὶ περὶ τῶν σῶν τρόπων
καὶ σπούδης τῆς τε χώρας ἀναδοχῆς, καὶ τῆς ἀξι-
ότητος, τῆς ἱερᾶς σου λέγω κεφαλῆς, ἐπιστελ-
λεῖν τοῖς σοῖς ἀξιώσαιο, οὐκ εἰς ἀπεικὸς ἂν
ποι ἀποβαίεις, τερπνὸν γὰρ ἐνίοτε δὲ καὶ χρή-
σιμον τὸ τοὺς φίλους τὰ τῶν φίλων ἔργα εἰδέ-
ναι πῶς καὶ οἵως διάκειται, οὐκ ἄκαιρον ἀρέσαι πε-
ρὶ τῆς σῆς καὶ ἡμᾶς κατάτι ἀναμνῆσαι διαγω-
γῆς, τὴν παρ' ἐμοὶ τοῦ βιβλίου ἐκθεῖσαν πα-
ρὰ τῆς σῆς αἰδεσιμότητος ἐπιμέλειαν, οὐ τοσοῦ-
τον αὐτὸς ἐπιλέλησμαι ὅσον οἱ οὐκ ἑτοίμως
ταύτην ἀναγράψαντες ἀναγραφεῖς. ἀλλ' ὅμως
καίπερ τοσοῦτον χρόνον μ' ἠδικήκασιν, ἐτελεί-
ωσαν, διὰ μέντοι τὴν τούτου κεφαλαίωσιν οὐ πέ-
πομφα. σὺ δὲ τῷ παμπρώτως ἀφ' ἡμῶν ὡς
ἡμᾶς ἀποδημησομένῳ πλοίῳ ταύτην φιλοφρό-
νως ἀποστελῶ: γράφε δὲ συνεχεστέρως τὰ προσ-
φιλῆ σου γράμματα, τιμιώτατε, καὶ τὰς ἐπιστο-
λὰς μεθ' ἑκάστου πλοίου ἐπίστελλε. εἰ γὰρ τοῦ-
θ' οὕτως πράξεις, καὶ συνεχεστέρας δέξῃ, καί-
περ ταῖς σαῖς οὐδ' ὅλως συγκρινομένας, ἐμοὶ
γὰρ ἧντι ἐξ ἀξίου πάθω τοῦ ξύλου κατὰ τὴν πα-
ροιμίαν ἥδιον πέφυκεν. ἔρρωσο, ἐκ κρήτης πο-
σειδεῶνος δευτέρᾳ ἱσταμένου, χιλιοστῷ ἑβδομη-
κοστῷ τρίτῳ.

Τῷ αἰδεσιμωτάτῳ καὶ ἁγιωτάτῳ κυρίῳ γαβριὴλ τῷ σεβήρῳ ἀνδρέας ὁ σπείρας εὐπράττειν.

Ἐδεξάμην τὰ τῆς σῆς λογιότητος γράμματα, αἰδεσιμώτατέ μοι πατέρων, ἐν ἀγορᾷ, καὶ τούτοις μὲν ἐντυγχάνων, αὐτὸν σ' ἐποπτεύειν, καὶ αὐτοῖς ἐφορᾶν τοῖς ὀφθαλμοῖς ὑπελάμβανον. ὅθεν ὑπεροπτικῶς μὲν ἔχων πρὸς ἅπαντας, διὰ τὸ μὴ πάντως τοιούτου ἀνδρὸς φιλίας ἀμέτοχος εἶναι, (οὗ γε καὶ ἐς κρήτην τὰ τῆς φήμης δεξιῶς ἀναπτύσσεται ἀξιώματα) καὶ διὰ τὸ μὴ παντάπασιν ἠμελῆσθαι, συνεχέστερον τὰ γεγραμμένα διεξερχόμενος, καὶ ἄρτι μὲν αὐτοῖς ἱλαρῷ τῷ προσώπῳ προσεπιβλέπων, ἄρτι δὲ πρὸς ὑμᾶς τὴν ἐπίνοιαν ἀναφέρων, σὲ μὲν τῆς ᾠδῆς ἐμακάριζον, καὶ τοῦ αὐτόθι ἀξιώματος (ὡς οἱ παρ' ἡμῶν εἰς ἡμᾶς πλέοντες ἀπήγγηλαν ἐρωτώμενοι.) εἰ καὶ σὺ ἀναμνῆσαι ἡμᾶς περὶ τοῦ τοιούτου ἀπηξίωσας, οὐ μόνον δέ σε, ἀλλὰ καὶ τοὺς σοὺς πολίτας, τοὺς τοιαύτης κεφαλῆς τὰς γνώμας, καὶ τὰς τῆς γλώττης ῥήσεις δυναμένους καθ' ἑκάστην ἀκροᾶσθαι, εὐδαιμόνησα τῆς ἀκοῆς. πῶς γὰρ οὐκ ἔμελλον; οἳ τοιαύτης πηγῆς ἀπολαμβάνειν τὸ ῥεῖθρον εἰς τὰς ἀκοὰς ἠξιώθησαν, σέτ' ἐν τοιαύτῃ πόλει περιβόητον διὰ τὴν ἀκραιφνῆν σου σοφίαν ἡδυνήθησαν ἀποτελέσαι, ὥστε με τοὺς τῆς φήμης ἐπαίνους καὶ τὰ ἀξιώματα τῆς λογικωτάτης σου κεφαλῆς ἀκούοντα ὁσημέραι, ὑπερήδεσθαί τε καὶ εὐφραίνεσθαι, ἀλλὰ πάλιν λυπεῖσθαί με ἴσθι,

διὰ

διὰ τὸ μήπε μηνύειν, εἰ αὖθις σοι εἴη ἐγνωσμένον τὴν ἐπὶ τῆς κρήτης σέλλεσθαι, ἐν ᾗ καὶ ἡμεῖς τῆς σῆς ἐχοίμην ἀγχινοίας ἀπολαῦσαι, ἀλλ᾽ εἰ μέν σοι οὐ ῥᾴδιον τοῦτον καταλαβεῖν τὸν τόπον, μᾶλλον δ᾽ ἐνετίαις παραμένειν σοι δοκεῖ, ἀλλ᾽ οὖν γε ἡμεῖς εἰ θεὸς βούλοιτο, ὡς ἡμᾶς τάχα ταχέως ἐλευσόμεθα. ἴσθι σοι καὶ τὸ βιβλίον ἡμιτελὲς πέπομφα. διὰ γὰρ τὰς ἀσχολίας καὶ τὰς σωματικὰς τύρβας οὐκ ἐδυνήθην αὐτὸ τελειῶσαι. ὅταν δ᾽ εἰς σχολίας ἥξει τὰ τῆς ἀσχολίας, καὶ τὸ σῶμα τῆς τοιαύτης τύρβης ἀνακουφίσω, ἀσμένως αὐτὸ περανῶ. καιροῦ μὲν καὶ σχολῆς ἀπορῶν, οὐ πλείω σοι τυγχάνω γεγραφώς, ἂν δὲ καιροῦ καὶ σχολῆς λαβοίμεν ἐκ τῶν ἐπικειμένων μοι πραγμάτων, μακροτέροις πρὸς σὲ ἴσως τε καὶ κομψοῖς τοῖς γράμμασι χρήσομαι. ἔρρωσο, σὸς ὅλος ἀνδρέας σπαῖρας. ἐκ κρήτης, αφοδ΄, μεμακτηριῶνος δεκάτῃ φθίνοντος.

Τῷ ἐν ἱερομονάχοις ὁσιωτάτῳ καὶ σοφωτάτῳ κυρίῳ γαβριὴλ τῷ σεβήρῳ, γεώργιος ὁ καρσφίλης.

Ἀνερευνήσας ἀκριβῶς, ὦ θεία καὶ ἱερὰ κεφαλὴ, ὅπερ ἔφθειν εἰπὼν τῇ ἁγιωσύνῃ σου, περὶ τοῦ βαπτίσματος τοῦ εἰωθότος παρὰ τῶν πανευφημίων τοῦ χριστοῦ φοιτητῶν εἰς τὸ τοῦ κυρίου ἰησοῦ χριστοῦ ὄνομα γίνεσθαι, οὐχ οἷός τε ἦν μέχρι τοῦ εὑρεῖν. ὑποσχνοῦμαι δέσοι, πάτερ

 ἅγιε,

ἅγιε, πάντα λίθον φασὶ κινῆσαι, ἕως ἂν τοῦ ἐφετοῦ ἐπιτύχω. καὶ τότε παραχρῆμα δηλοποιηθήσεται ὑμῖν παρ' ἡμῶν. λίαν γὰρ ἐρωτικῶς ἔχω δρᾶν τά σοι οὐκ ἀποθύμια. δέσποτα μου, καὶ οὐδέν μοι προὔργου, ἢ τῷ ὑμετέρῳ χαρίζεσθαι θυμῷ τὸ κυρωθὲν παρὰ τῆς ἁγίας ἕκτης συνόδου περὶ τῶν διαταγῶν, ὅψη συνεκπεπόμφαμεν γὰρ ἢ τὴν τοῦ ζωναρᾶ ἑρμενείαν. ἐπανακάμπτει δὲ πρὸς τὸν ἴδιον κύριον καὶ ἡ τοῦ Βλαστάρεως βίβλος, ἐν ᾗ τὰ παρὰ τοῦ γλυκᾶ εὐσεβοφρόνως ῥηθέντα ἀναγνοὺς ὑπερήσθην, οὗ ἕνεκεν ἀριθμοῦ κρείττους οἴδασι χάριτας εὐδαιμονίης κατ' ἄμφω ὑπερεχόμενος καὶ ἡμῶν τῶν ἀνυποθέτως τὴν ὑμετέραν ἁγιωσύνην φιλούντων. σκιρροφοριῶνος ἕκτῃ ἱσταμένου, ͵αφος΄.

Τῷ αἰδεσιμωτάτῳ καὶ λογιωτάτῳ ἄκρῳ ἀρχιερεῖ ὑπερτίμῳ καὶ προέδρῳ φιλαδελφίας ἐν κυρίῳ εὖ πράττειν.

ΠΟλλοὶ μὲν, ὦ αἰδεσιμώτατε καὶ λογιώτατε πατὲρ, τῶν ποτὲ ὑπὸ θεοῦ ἀνδρῶν, νεύσει θείᾳ, εἰς τὰ τῶν τετιμημένων ἁγίων ἠξιώθησαν καὶ μελέτῃ τῶν θείων γραφῶν, ἔγνωσαν τὰ πάντα. καὶ πῶς, καὶ διά τι, καὶ αἰωνίως τῶν ὑπὸ κατὰ γῆν μακαρίζονται οὕτω, τίμιε πατὲρ καὶ σεβασμιώτατε, καὶ ἡμεῖς οἱ εὐτελεῖς τὰ τῆς σῆς ἁγιότητος μαθόντες, καὶ τὸ τοῦ ὀνόμα-

μα-

ματός σου ἀξίωμα πειραθέντες, ὡς αἰδεσίμως καὶ φιλευσεβῶς καθοδηγηθεὶς πάντας, καὶ τῷ τῆς ἀγνωσίας κρυμνῷ ὄντας, παιδεύεις καὶ νουθετεῖς. καὶ ἐκ θεοῦ ὁδηγηθέντες, κοινῇ γνώμῃ, τοῦτε πατρὸς αὐτοῦ καὶ μητρὸς, καὶ τῶν συγγενῶν πάντων, καὶ ὡς ἠξίωσαν καὶ ἡμᾶς χρίσαι πρὸς τὴν σεβασμιωτητάσου ὀνόματι ἀλέξανδρον, οὗ τὸ ἐπίκλην δράκων, φοβούμενοι ὡς ἄνουν ἵνα μήπως ἐκ τῶν ἡμᾶς κρατούντων ἐμπαίσει εἰς τὴν τοῦ ἐχθροῦ παγίδα, καὶ παίγνιον γένει τοῦ διαβόλου, καὶ ὀνειδισμὸς τῆς ὀρθοδόξου πίστεως καὶ τῶν γονέων αὐτοῦ. σὺ οὖν, ὦ τιμιώτατε πατὲρ, ποίησον αὐτὸν ὡς ἴδιον, καὶ ἔργῳ καὶ λόγῳ καθοδήγησον αὐτὸν ὡς οἶδας, ἵνα τύχοις ἐπαινεῖν ἐκ θεοῦ καὶ ἀνθρώπων καὶ ὑφ' ἡμῶν. καὶ μάλιστα ὡς καὶ βαπτιστικὸν κυρίου μανουὴλ τοῦ μουζάλου. καὶ εἰς μνημόσυνόν σου αἰωνίως γένοιτο. αἱ δὲ ἁγίαισου καὶ θεοπειθεῖς εὐχαὶ, εἴησαν μεθ' ἡμῶν φυλακτήριον βίῳ παντί. ἔῤῥωσο σεβασμιώτατε πατέρ.

Λαμπαδάριος τῆς μεγάλης ἐκκλησίας γεώργιος καὶ δοῦλος τῆς σῆς μεγίστης ἁγιώτητος.

Τῷ

Τῷ αἰδεσιμωτάτῳ ἀρχιερεῖ φιλαδελφίας ὁ λονδῖνος ἱππότης εὐπράττειν.

ΟΥ μὰ τὰς μούσας οὐδὲν ὑγιὲς ὁ πανοῦργος κερκυραῖος ἀναπολεῖ, ἀλλὰ φαινακίζει, καὶ προσποιεῖται, ἄχρι τοῦ λύσαι τὰ πρυμνήσια τὴν ξιήρην, ἀναβαλλόμενος τὴν διασάφησιν τῆς ῥητῆς ἡμέρας καθ' ἣν ἐκπληρῶσαι τὸ χρέος τῆς συμφωνίας ὑπέσχετο τῇ ὑστεραίᾳ, ὅτε μεταπεμψάμενος ὑπὸ τῆς ἡμετέρας εὐνοίας, σοφῶν ἄριστε, ἀφῖκτο, καὶ πρωτιθεὶς κωλυόμενος γενέσθαι, τὴν εἰς τὴν βελτίονα ζωὴν μετάβασιν τοῦ ἑαυτοῦ ἀδελφοῦ, τῆς μήπω γενομένης ἐκτυπόσεως τῶν ἐκκλησιαστικῶν κανόνων. ἀλλ' ὦ λῷστε, βουλοίμην πείθεσθαι τὴν τιμίαν σου κεφαλὴν τὸν πίξιππον τοῦτον κλέπτειν νόον. καὶ γὰρ ἀπεμάζατο τὴν ἅπασάν μου βίβλον. διὰ τοῦτο πλάττει τὰς τοιαύτας ἐρρεχελείας καὶ χραιδίων κολοσυρτῶν μυθολογίας, ὥστε χρεῶν σε πρὸς δοκιμασίαν αὐτοῦ ἀφορισμοῦ μετελθεῖν καὶ διὰ συγγραφῆς ἰδίας χειρὸς ἀποδεῖξαι τὸ πρὸς ἐμὲ χρέος αὐτὸν τοῦτον διασαφηνίζων, καὶ τὰ τῆς ἀναβολῆς πρὸς ἐκπλήρωσιν, ἐπὶ πᾶσι δὲ τὴν ἀποκατάστασιν τῆς ἐμῆς βίβλου σήμερον, καὶ γὰρ δεῖμαι ταύτης, μάλα νὴ τὴν ἱεράν σου κεφαλὴν, πρὸς τοὔργον ᾧπερ αὐτὸς πολλάκις με κατηνάγκασας τέλος ἐπιθῆναι. ὁ δὲ κύριος δώησοι τὰ πρὸς σωτηρίαν αἰτήματα. ἔρρωσο. ἀσπάζομαί σου τὴν δεξίαν, καὶ δεόμαι σου συγγνωθῆμοι. εἰ γάρ σοι βαρὺ δοκεῖ τοῦ

καθ'

καθ' ἑκάστην ἐνοχλεῖν σου τὰς ἀκοάς, ἐγὼ τὸν ἄνδρα ἐπισύρω εἰς τὸ δικαστήριον.

Κυρίῳ Γαβριὴλῳ.

Θαυμάζειν μου διὰ τῆς ἐπιστολῆς ἔοικας, ὅτι τὰ κατ' ἐκείνου ὅτ' ἔδει σοι οὐ δηλώσαντι, καὶ μετὰ ταῦτα σαφῆ ποιῆσαι θελήσαντος. ἐγὼ δὲ ὦ θειότατε δεσπότα ἐς τὰ μάλιστα τοῦτ' ἐκεῖνα, ἀλλὰ δεδεικὼς τὸ, σὺ τίς εἶ ὁ κρίνων ἀλλότριον οἰκέτην; καὶ μὴ κρίνετε ἵνα μὴ κριθῆτε, ὅπερ καίμοι νὴ τὸν θεὸν αἴτιον, οὐκ ἐδήλωσα. αὐτὸς δέμοι συγγνώμην περὶ τούτου παρέχε, καὶ οὐχ ὡς δοκοῦντα καὶ φθεγγόμενον, ἀλλ' ὡς ἀληθῆ καὶ ὄντα τῷ ὄντι φίλον ὑπολάμβανε. τὸ δὲ βιβλίον καθ' ὅλον τὸν σκιρροφοριῶνα, ἐμοῦ καθ' ἑκάστην ἓν τετράδιον ἢ καὶ πλέον γράφοντος, τὸ τέλος λείψεται, καίπερ ἄχρι τοῦ νῦν ἓξ καὶ τετταράκοντα χάρται μοι γεγράφθησαν, μέγιστον καὶ κατὰ στοιχεῖα πάνυ δυσνόητον, ἄλλως δ' ὠφελιμότατον τῇ ἀληθείᾳ καθέστηκε. σκιρροφοριῶνος ἱσταμένου ἀπὸ παταβίου, σὸς δοῦλος συμεών.

Τῷ σοφωτάτῳ καὶ πανιερωτάτῳ μητροπολίτῃ φιλαδελφίας (1) κυρίῳ γαβριὴλ ῳ συνέσιος ὁ ἑλλαδικὸς ἐν κυρίῳ χαίρειν.

ΔΕινὸν ὡς τοὺς σοφοὺς γράφειν, δεινότερον δὲ τὸ μὴ συνεχῶς τοῖς φίλοις ἐπιστέλλειν. οἷάπερ ὀξύκπως ὁ τάλας ἐγὼ πέπονθα τήμερον. τοῦτο μὲν μηδόλως εἰδὼς, τοῦτο δὲ μὴ διακομιστοῦ ἐστιν ὁ τετυχηκώς. ἐπεὶ δ᾽ ἂν κατὰ θεοῦ εὐδοκίαν, οἷάπερ φίλου ἀνέκαθεν ἐντυχὼν, μὴ μόνον καλάμῳ καὶ μέλανι, ἀλλὰ ψυχῇ καὶ καρδίᾳ γράφων προσαγορεύω κἀσπάζομαι τὴν σὴν λογιότητα. πῶς γὰρ οὔ; ἢ πολλὰ πολλῶν ἔτλη πέρι, καὶ ταῦτα μὲν οὕτως. τὰ δὲ περὶ ἐμὲ, πάντα καλῶς ὁ ἐν ἱερομονάχοις καὶ πνευματικοῖς ἄριστος τῶν σπουδαίων, ὃν καὶ συνίστημι τῇ σῇ λογιότητι, κύριος μεθοφάνης ἀναγγελεῖ. ἔρρωσο, ἐκ τοῦ μοχολουρίου τῆς ἑλλάδος.

(1) Quum *Gabriel Severus* Metropolita Philadelphiae anno 1577. creatus fuerit; omnes Epistolae, quae ei Metropolitae scribuntur ab hoc anno initium sumunt.

Τῷ πανιερωτάτῳ μητροπολίτῃ φιλαδελφίας ἰωάννης ὁ σωζόμενος ὁ κύπριος εὖ πράττειν.

Η σὴ πρὸς ἡμᾶς ἄφιξις, θεῖε μητροπολίτα, πάντας μὲν, ἐν τοῖς μάλιστα δ᾽ ἐμὲ ἐς ὑπε-

ὑπερβολὴν ἧσε δίψοντα ἤδη ἐκ μακρῦ ξυγγενέθλιοι, καὶ τῶν σῶν καλῶν μοῖρά τινὸς ἀρετῶν ἐμφορεῖσθαι ὅσων δὲ καὶ οἵων τύπων νυνὶ τοῖς πᾶσι καθίσεις θέαζον, ὦ πάντων θεὸς ὑπεραίρει πᾶν ὑπερβολῆς μέζον. οἶμαι καὶ τῦ ξυνδιάγοντας σοι μονονὺ ἐγχέειν τὴν ψυχὴν τῇ πρὸς σὲ ὁσημέραι περιπτύξει, καὶ προσρήσει, ὕμνους χαριστηρίους τῷ θεῷ ἀποθύοντας καὶ πρὸς αὐτὸν χεῖρας ἱκέτιδας αἴροντας ὑπὲρ τῦ θείας τῷ ὄντι τυχεῖν τύχης. ἐγὼ δὲ σὺν τυτοισὶ καὶ ἀπὼν ἐπιδημῶ, καὶ φίλζοντι περὶ τὴν ψυχὴν ζωπυρῶ, ἀργῶν ὡς ἐνὶ διὰ τάχυς τῷ ἱερῷ χεῖρε κῦσαι καὶ ἥδυσα ἐς τὸ ἀπὸ τῦδε συνδιημερεύσειν, εἴθ' οὕτως ἀποβαίη ἐπαίρει δέ με ταῖς ἐλπίσιν, καὶ τὸ τῶν αὐτόθι σοφῶν περὶ τὸ τὺς ἰδίυς παῖδας τὴν ἰθαγενῆ ἀποσβεννυμένην ἤδη, καὶ ἐς λήθην ἀπιοῦσαν ἀναλαβεῖν πρόθυμον, οἵπερ οὐκ ἠνέχοντο τῦ τὴν εὐθὺ παταβίυ βαδιεῖν με, καὶ ἀνάγκην ὡς τὰ πολλὰ εἰσέφερον, ἐν τῷ μέρει, ἕκαστος τὸν καθήκοντα μισθὸν ὑπὲρ τῦ τοιῦτον ἔκλαμπρον ἔργον μετιέναι καταθέσθαι ὑποσχνύμενος. ἐγὼ δὲ μέχρι τῆς σῆς ἐπιδημήσεως ἀνεβαλλόμην, τὰ νῦν ἢ πᾶν ὅτι συνθήσεις, ὡς δόγμα ψυχῆς εὐφρονούσης καὶ πρὸς τὸ θεῖον τὸ πᾶν ποδηγετύσης νομιεῖται καὶ παρὰ πᾶσιν ἀναγραπτός σοι κείσεται χάρις, κἀμοὶ ἐκτόπως καὶ ἡδονὴν ἔςαι τὸ τὺς ἕλληνας μᾶλλον ἢ τὺς ἀλλογενεῖς τὴν ἑλληνικὴν παιδείαν παιδεύειν. περὶ δὲ τιαύτης ὑποθέσεως συμελήσει τῷ θεῷ.

ἑαυ-

ἑαυτὸν ἐπιτρέψαντι, καὶ ἀναθέντι γνώμην καὶ χεῖρα ὑπηρέτην εἰσενεγκεῖν, τέως πολλῶν μαθημάτων θεολογικῶν τε, καὶ φιλοσοφικῶν ἐχόμενος, οὐ δύναμαι μακροτέροις τοῖς πρὸς σὲ χρῆσθαι λόγοις. ἔρρωσο, καὶ ἐρρωμένος διαβιώης μακρῷ χρόνῳ τὴν ἱερωσύνην συγκαταλύσων. ἐκ παταβίου.

Οὐκ ἀπεκόπη σου τὸ βιβλίον ἐμοὶ, πανιερωτάτε πατὲρ καὶ δέσποτα, ἀλλ' εἰς μικρὸν ἐχωρίσθη, καὶ δοκῶ συγγνώμην δοῦναι σου τὸ φιλάνθρωπον τῷ προξένῳ τούτου καὶ φιλαλήθει ἐμοί. ἐπαγγειλάμενος γὰρ ἀνδράσι συγκοινῶσαι τὸ ἕρμαιον. ἔκρινα πάντως τὸ διαμαρτεῖν τῶν αἰσχίστων, κἀμοὶ ἀηθὲς καὶ ἀλλότριον, δέξαιο γοῦν εὐμενῶς τὸ βιβλίον, διὰ τοῦ εὐγενοῦς καὶ σοφοῦ ἀλοΐζου τοῦ λουλίνου, ἀνδρὸς ἐν τοῖς μάλιστα τῶν φιλούντων, καὶ θερμῶς συμπονοῦντος καὶ συναγονιζομένου τὰ περὶ τὴν ἀρχιερωσύνην σου. ἅμα καὶ τὴν ἐμὴν πρὸς ταύτην διάθεσιν, ἑκάστοτε καθαρὰν καὶ ἀκίβδηλον ἤθην. ἀλλὰ πῶς οἶον; βαθέως ἤθην, μαθὼν ἰθύνεσθαί σου κατασκοπὸν τὴν πανιερώτητος ἐφ' οἷς διετέλει πονοῦσα. τί γὰρ ἄλλον ἐχρῆν προσδοκᾶν, ἢ τοὺς καλούς τε κἀγαθοὺς εὖ πράττειν, καὶ ἡμᾶς αὐτοὺς ἥδεσθαι, καλῶς ἄρα μισθὸς ἡ φροντὶς παρὰ θεῷ πεπαροιμίασθαι. πρὸς δὲ τὸν ἀλιτήριον ἀβούρην τί χρὴ καὶ λέγειν, ἢ ὅθ' ὅλως λυπεῖσθαι καὶ πονηρῶς ἔχειν; φυντα-

θαν-

θέντας φσ᾽ τὸν κοινὸν ἐπίσκοπόντε ϰ̀ κηδαίμονα τὸν παναγιώτατον δηλαδὴ πατριαρχὴν, συγκοινωνεῖν ἀκοινωνήτοις, καὶ τούτους ἐν τιμαῖς ἔχειν καὶ ἀξιώμασιν; τίσι γὰρ ἡμεῖς τῶν ἄλλων διοίσομεν. εἴπερ οἱ κακῶς καὶ πονηρῶς βιοῦντες, πρὸς ἐκείνου σέφοιντό τε ϰ̀ λαμπρῶς περιφέροιντο, ὥστε σύμμικτον ἔχειν με τὴν διάθεσιν, μέχρι χρήμματα κομίσασθαι, καθ᾽ ἕκαστον ἰσορροῦντα, ἐν οἷς εἴη δ᾽ ἄν τι χρυσὸν, ϰ̀ περὶ τὸν κεφαλῆνα, τὸν τοὺς ζακυνθίους ποιμαίνοντα. ἐῤῥωμένος ϰ̀ ἐν εὐθυμίᾳ βιώης πανιερώτατε μοι πατὴρ καὶ δέσποτα βίῳ παντί. ἀπὸ παταβίου, μαίου β΄. προσειρήσθωσάν μοι οἱ φίλοι, ὅτε κύριος γεώργιος ὁ μουρμούρης, ϰ̀ κύριος ἀνδρέας ὁ γερμανὴς, ἀσπάζομαι τοὺς ἱερωτάτους ἐφημερίους. δοῦλος τῆς ἀρχιερωσύνης σοῦ.

Ἰωάννης ὁ βοναφεύς.

Τῷ πανιερωτάτῳ μητροπολίτῃ φιλαδελφίας καὶ λογιωτάτῳ κυρίῳ γαβριήλῳ τῷ σεβηρῷ νικηφόρος ἱεροδιάκονος ὁ παράσχης εὐπράττειν.

ΤΗ᾽ι προβιτάτῃ μοι, αὐτόθεν ἀφικόμενος ὁ σπουδαιότατος ἀνδρέας, ἀρχιερέων ἄριστε, περὶ οὗ αὐτῷ εἴρηκε βιβλίου πρὸς αὐτὴν πέμψαίσου ἡ λογιότης εἰπεῖν μοι, διηλέχθη. ἴσω πίνυν ἀκριβῶς αὐτὴ τὰ κατ᾽ αὐτὸ. διάθεσιν τι-

τινα ἡμεῖς οὐτὴν τυχοῦσιν πρὸς ἀλλήλους (οἷα εἰκὸς τοῖς περὶ λόγους) ἔχοντες, ὅτ' ἀποβεβιωκὼς τῶν φίλων σιγοῦρος καὶ αὐτὸς, πολλάκις ἀλλήλοις (φιλεῖ γὰρ τουτὶ παρὰ πολλῶν γίνεσθαι τῶν περὶ λόγους) τῶν ἡμετέρων μετεδίδομεν βιβλίων, τοῦτο δὴ τήμερον καὶ ἡμέτερον τοῖς ἐκείνου, καὶ τἀνάπαλιν τοῖς ἡμετέροις ἐνέσι βιβλίοις, ὥσθ' ἑκάστου ἤδη τὸν παρ' ἐμοῦ τοῦτο λαβεῖν αἰτοῦντα, οἷόντε εἶναι ἔχειν αὐθ' ὅτε βούλοιτο παρασχόντα μοι τὸ ἡμέτερον, ταύτῃ μὲν τὰ περὶ τούτου. εἰ δ' αὐτὴ χρεία τῶν ἡμετέρων; μετ' αὐτὰ καὶ τὸ τούτων ἐφόρει (ὅπερ αὐτὸς ἔσθ' ὑπήκοον ἀφιξομένῃ ἐνταῦθ' ὅτι τάχιστα ξὺν θεῷ. ἔτι δὲ τῇ πρώτῃ φθίνοντος τοῦ παρελθόντος ποσειδεῶνος, περὶ τοῦ πόθ' ὡς τὸν οἰκουμενικὸν αὐτὴν γράψειν πιθόμενος τῷ τότ' αὐτόθι τετυχηκὼς, ὅταν ἐπὶ κωνσταντίνου πόλιν ἀποπλεύσουσι πλοιάριά τινα τῶν ἀρίστων, ἀνταποκριναμένης αὐτῆς ἀκήκοα, ἅπερ ὡς ὁ αἰδέσιμος ἰωαννίκιος τῇ παρούσῃ ἢ τῇ μετ' αὐτὴν ἑβδομάδι εἰ καιρὸς θεοῦ συναιρομένου ἀποπλεύσουσιν ἀναμφίλεκτα, ὡς ταύτην εἰ θελητὸν ἅμ' ἀποστεῖλαι καὶ τὰ πρὸς τὸν αὐτὸν ἡμέτερα τῶν γραμμάτων γράψαι οἷόντε εἶναι μοι, κατ' ἐπεισόδιον δὲ, καὶ τίνα τὰ παρὰ τοῦ σελυμβρίας πεμφθέντος γράμματος διαλαμβανόμενα. πρὸς τούτοις δ' αὐτὴν ὡς ξόφιμον τῆς τε σπουδῆς καὶ τῶν θείων ἐξ ἁπαλῶν ὀνύχων γεγενημένην ἐπὶ μακρὰν δωθεῖσθ' ἄξιον τὰ παρά τινων αὐτῇ κατ' ἐμοῦ λεχθέντα στωμύλματα·

ἐραχελίας μετὰ καὶ βουφωνίας, ἀνδρὸς εἰρήσεται γὰρ τ' ἀληθὲς περὶ τε. τὰς λόγους καὶ τὰ θεῖα παιδόθεν αὐτόντε καὶ τὰ ἑαυτοῦ καταναλύσαντος, καὶ ἄχι τοῦ παρόντος ὁ λήξαντος, οὔτε λήξοντος ἐπ' ἂν τοῖς ζῶσιν ἐγκαταλέγησαι, οὔτε μὲν τινος ὡς ἐξ ἀρχῆς ἄχει τοῦ νῦν θεοσεβῶς τῇ περὶ τούτου ἀκριβείας καὶ συνεχεῖ μελέτῃ ἐμυήθη δογμάτων τε καὶ κανόνων καταφρονήσαντος, τἀνάπαλιν δὲ ἡ δυνάμεως ἔχει φρονοῦντός τε καὶ οὐκ ὀλίγοις ἀνθ' ὅσημέραι κηρύττοντος. ἵν' ὁ πάσης κακιας ὑφορετὴς καὶ σκανδάλου παντὸς πρόξενος κοσμοκράτορας τοῦ σκότους ἐκποδὼν ἡμῖν γένηται τῆς χάριτος χάριτας ἀντιποιουμένοις. οὐαλέτε καὶ μέγα χαῖρε ἀντιφιλῶν τὰ ἴσα οἷς αὐτὸς ἐπέκεινα τυγχάνεις φιλούμενος ἀνδρῶν, ἄριστε. ἀπὸ παταβίου. ἐλαφηβολιῶνος ά επτῇ δέκα, τοῦ αφοή.

Τῷ πανιερωτάτῳ καὶ σοφωτάτῳ τῆς φιλαδελφίας ἀρχιερεῖ καὶ κυρίῳ ἡμετέρῳ, κωνσαντίνος πατρίκιος ὁ τούτου θεράπων, εὖ τε πράττειν διαζώνται, καὶ μακαρίως ποτ' ἀπαλλάττειν.

Ματθαίῳ τῷ σοφῷ, χθὲς ἐμοῦ περὶ δείλην ὀψίαν ἐλλάδι τῇ φωνῇ γεγράφατος, καὶ τὰ δι' ἠπείρου ἐς βυζάντιον, κἀκ βυζαντίου ἐς χίον πρὸς ἐμοῦ ἀποσελλόμενα συστησαμένου, οὐκ ἄκαιρον ᾠήθην, οὐδὲ τοῦ φιλικοῦ καθήκοντος ἀλλόξιον, μὴ καὶ πρὸς σὲ τὸν τῆς ἡμετέρας στοργῆς

γῆς

γῆς τὰ πρωτεῖα φέροντα ἐπισεῖλαι, καί τι τῶν συμβάντων ἀνακοινώσασθαι. ἴσθι τοίνυν τὸν τῆς χίου ἀρχαῖον καθηγητὴν, τὸν ὁσιώτατον καὶ σοφώτατον ἰγνάτιον ὑπὸ τῆς εἱμαρμένης σχεδὸν ἑκατονταέτη συναρπασθέντα καὶ ἐς οὐράνιον χῶρον μεταςάντα, καὶ τὸ παρ᾽ ἐμοῦ τῶν τοῦ πτωχοπροδρόμου ἐπιγραμμάτων βιβλίον ἀποσαλὲν οὐ φθάσαντα ἐγχειρισθῆναι. γράμματα γὰρ οἴκοθεν κομισάμενος τοῦ γαμηλιῶνος μεσοῦντος ἤδη γραφέντα ἔγνων ἐναργῶς πάντα. ἀντιβολῶ δέ σε μετὰ τοσαύτης δεήσεως ὅταν ἐνδῷ καιρὸς ἐς ζάκυνθον ἐπισεῖλαι τῷ ἐμῷ πολίτῃ ἰγνατίῳ τῷ βεςάρχῃ, εἰ ῥᾴδιον καὶ ὡς ἀπ᾽ ἐμοῦ πρόσθες, ἐνετίαζε τὸ ῥηθὲν ἀνταποσεῖλαι βιβλίον, ἵνα μὴ τὴν ἄλλως οὕτωσίπως καὶ δίχα σκέψεως διαπέσῃ δυσαρετότατον ὄν. εἶεν. ἐγὼ δὲ γλίχομαι ὁσημέραι τῆς ἐμῆς ἐνειγκαμένης πυθέσθαι, τὴν σὴν ἀρχιερατικὴν πανιερώτητα προςάτευσαι καὶ μηκέτι ταῖς τῶν ἁλιέων ψευδομέναις φροντίσιν ἐγκαλινδεῖσθαι. παρὰ σοὶ γὰρ οὐδὲν προπετὲς, οὐδὲ παρακεκινδυνευμένον, ἀλλὰ πάντα πρὸς ςάθμην ἀπηκριβωμένα, καὶ τῷ ἀρχιερατικῷ τάγματι ξυνῳδά, ὅθεν μοι δοκεῖ τὰ τελευταῖα νῦν, σοῦ ἐς χίον ἀφικνουμένου, ταύτην γραῖν ἤδη ταῖς ξικυμίαις γεγονεῖαν, ἀναθαλήσειν τε καὶ ἐπανήξειν ἐκ τῶν πάλαι ῥυτιδίων ἡβῶσαν, καὶ πλεῖςην καρπώσασθαι τὴν ὠφέλειαν. ὅτι ἄλλοι μὲν ἄλλοις χαίρουσι, σοὶ δὲ θεολογία καὶ φιλοσοφία τὸ σπουδαζόμενον, ὥςε καὶ ὑπὸ τῆς ἄγαν μελέτης, οἴ-

οντι

ὄντι κοινὸν πρυτανεῖον, τοῖς ὁποσοῦν ἀρετὴν ἀντιποιουμένοις, ἀνεῴχθαισε τὴν οἰκίαν, ὅπερ πρὸς τὰ τῶν ἐξόπων ἤθη, καὶ τὰς τοῦ βίου πράξεις, καὶ τοῦτο παρὰ τοῖς εὖ φρονοῦσιν, οὐκ ἐλαχίστην ξυμβάλλεται μοῖραν. διὸ ἐμοὶ χρησάμενος συμβούλῳ, τοῖς πᾶσι χαίρειν φράσας ἄπτου τῆς ἐς χίον πορείας, ὄμνυμι δέ σοι τὸν φίλιον κρειττόνως ταύτην τό γε νῦν ἔχον τῶν ὑπουρανὸν διοικεῖσθαι, ἄνδρας τε τῶν εὐπαξίδων ἔχουσαν ἐς ἀρετῆς κάλλος ἀκριβῶς ἐξησκημένους, καὶ σωφροσύνης διαπαντὸς ἐπιμελουμένους. τοσοῦτον δὲ τὰ τῆς πολιτείας σφόδρα καλῶς κεκόσμηται, ὥστε καὶ τὸν μῶμον αὐτὸν εἴπως αὐτῇ δικάσειν ἐπιστήσειεν οὐδαμῇ ταύτην μωμήσαιτο, εὐανδρόντε καὶ εὔνομον οὖσαν, καὶ πάσας κεκτημένην τὰς ἀρετὰς, ὅσας εἴ τις εἰπεῖν ἔχει, εἰ μὴ μόνον βραχύν τινα φόρον, καὶ δασμὸν ἐπέτειον, τοῖς ἀσεβέσιν ἐχθροῖς ὑποτελῆ τυγχάνουσαν. καὶ ταῦτα μὲν δὲ ταύτῃ. καθομηρίζων δὲ ἀναμνήσω καὶ τὴν τῶν ταύτης παραδείσων ἀμύθητον ὡραιότητα, παρεμφερῆ τῇ ἐν τῷ τοῦ ἀλκινόου διαγραφείσῃ κήπῳ.

Γίνετο δ' ὑγρὸν ὕδωρ, καὶ δένδρεα ὑψιπέτηλα
Ὄχναι καὶ ῥοιαὶ, καὶ μηλέαι ἀγλαόκαρποι
Συκαί τε γλυκεραὶ, καὶ ἐλαῖαι τηλεθόωσαι,
Κλεῖθρίτ' αἴγειρός τε καὶ εὐώδης κυπάρισσος.
Τάων οὔποτε καρπὸς ἀπόλλυται, οὐδ' ἐπιλείπει.
Χείματος οὐδὲ θέρους ἐπετήσιος, ἀλλ' αἰεὶ αὔρη
Ζεφυρίη πνείουσα, τὰ μὲν φύει, ἄλλα δὲ πέσσει.

 οὐ

οὐ μὲν ἀλλὰ καὶ ἄμπελοι παμμήκεις, καὶ λίαν ὑψηλαὶ, παντοδαπῶν δένδρων γένη περιελίττονται ὥστε ἀνακλᾶν πάντας ἐπὶ πολὺ τὸν αὐχένα πρὸς θέαν τῶν κύκλῳ συναιωρουμένων βοτρώων, ὧν οἱ μὲν ὀργῶσιν, οἱ δὲ περκάζουσιν, οἱ δὲ ὄμφακες, οἱ δὲ οἰνάνθαι δοκοῦσι, καὶ πάντα καθ' ὅμηρον τοιαῦτα ἀπηκρίβονται, οἷα πᾶς τις ἂν ἰδὼν ἀγασθείη. προσέτι δὲ πηγαὶ χαριέσταται ὕδατος ποτίμου, ψυχικοῦ τε εὖ μάλα καὶ διαυγοῦς περιῤῥέουσαι, κἂν δ' ἐγὼ οὐ πάντα διεξέρχομαι τὰ πλεῖστα παρατρέχων, παρ' ἄλλων πεύσῃ. ἅλις οὖν τούτων ἵνα μὴ καὶ τὰ λεγόμενα δοκεῖ τὸ τῆς ἐπιστολῆς ὑπερβάλλειν μέτρον. ἐγὼ μὲν ἔῤῥωμαι, σὺ δὲ εὐτύχει καὶ σώζοιο, ποθεινότατε, δυοῖν μὲν καλλίσταιν φιλοσοφίᾳ τε καὶ θεολογίᾳ κοσμούμενος, καὶ τῶν σῶν ἀρετῶν καὶ χαρίτων ἀπολαύων, οὖλέτε καὶ μέγα χαῖρε, θεὸς δέτοι ὄλβια δοίη. ἐκ παταβίου, μηνὸς μουνιχιῶνος ὀγδόῃ ἐπὶ δεκάδι, τοῦ αφπά ἔτους ἀπὸ τῆς θεογονίας.

Ἐγὼ μέν σε ἅπαξ ἰδὼν ἐν ῥώμῃ, θειότατε καρδιναλέων, εὔνους ἐκ τοτέσοι ὡς ἄλλος τις τῶν σῶν γνωρίμων τυγχάνων διατελῶ καὶ φιλῶ, καὶ μέμνημαι, καὶ ἔρομαι, καὶ ἀκούων ὑγιαίνειν σε χαίρω. καὶ τοῖς φίλοις λόγον ποιοῦμαι τὰ σὰ, τοῖς τε εἰδόσι, τοῖς τε μὴ

τὸ σύνολον φήμη γὰρ κατ'

διει-

δυσελπίδην, τὸν ἐσθλὸν πανταχοῦ δείκνυ σιγῆς, ὧν οἱ μὲν, ὀλίγα ἄττα λέγειν με φασιν, οἱ δ' οὐκ ὀλίγα τε καὶ θαυμάζουσι, σὲ μὲν καλοῦντες μακάριον, ἐμὲ δὲ δυσδαίμονα, τοιοῦδε φίλου τετυχηκότα (καταϲοφίζομαι γὰρ αὐτοὺς συναιρεῖσθαι λέγων τοῖς φίλοις σου) εἰ δὲ ἦν ἔλεγον ἐπὶ πυθαγόρου καὶ πλάτωνος, πολλάκις ἂν εἶπον ἐκεῖνοι χαίρειν διονυσίου τε καὶ φαλάριδος, ἐφ' ὧτε συνδιατρίβειν τοιῷδε ἀνδρὶ, πάνθ' ὅσα πᾶσιν οὐδέδοται τἀγαθὰ μονονοῦ κεκτημένῳ, εἰ καὶ φορτικὸς ὁ λόγος ὁμήρου μηδενί ταῦτ' εἶναι συνδραμεῖν ἀποφαινομένῳ. ὃν δή φασι ὅτι νέστωρ πεποίηκεν, οὐχ ὁ τοῦ ἀγαμέμνονος, ἀλλ' ὁσὸς λάσκαρις ὁ ἄλλος πλάτων, καὶ τῶν ἑλλήνων ἐπιστημότατος. εἴθε δὲ καὶ αὐτὸς συμπαρείην τῇ τοιαύτῃ ἀκαδημίᾳ συνόμιλος τοῖοινδὲ ἀνδροῖν ἢ δαιδάλου τέχναισιν ἢ θεῶν τινος. ἐπειδὴ τὸ νῦν εἶναι τῇ χειροποδάγρα πιέζομαι, ἀλλὰ τί πάθων; ὑπεικτέα μοι τῷ τῆς ἀνάγκης σθένει τῷ ἀδηρίτῳ. ἐπεὶ δ' οὕτως ἔχει τὰ κατ' ἐμὲ, θειότατε καρδηνάλεων, ὄρεξον πρὸς θεοῦ χεῖρα βοηθείας ἐμοί τε ἰδίᾳ καὶ τῷ γένει τῶν ἑλληνῶν κοινῇ. πρὸς τίνα δὲ βοήθειαν ἐπικαλούμεθα σε τὸν φιλελληνικώτατον καὶ τὸν τῶν καρδηναλέων ἐλευθεριώτατον, ἀναγνοὺς εἴσῃ. τὰ γράμματα πέμπομεν τῷ θειοτάτῳ λασκάρει. γνοὺς γὰρ τὸ ζητούμενον, δὸς ἀπαλλαγὴν τῶν κατεχόντων ἡμᾶς λυπηρῶν. δὸς τῇ ἑλλάδι τὸν ἕλληνα λόγον, ἢ τὴν γλῶτταν αὐτὴν ἀβάρβαρον ἐπὶ σοὶ διαμεί-

νας ὡς ἐπὶ σοὶ βουληθέντι μόνον, ἔνεστι ταυτὶ διασώζεσθαι, ἡγοῦ ταῦτα λέγειν, οὐχ ὅπως ἐμὲ, ἀλλὰ τοὺς ἕλληνας ἐκείνους τῶν παλαιῶν, ἐφ' οἷς τὸ περὶ ὧν τῆς σοφίας οὐκ ἀγνοεῖς ὅσον ἂν καὶ οἷον ἐτύγχανεν, ὅ καὶ πολλοῦ εἴτις ἐπρίατο, ἠθύμησας ἂν, αὐτὸς οὐκ ὢν ὁ πριάμενος.

Καὶ τῶν σοιῶν ἐπισκόπων τῆς τε ἱερᾶς πίτνας, καὶ τῆς χερροννήσου προστατεύουσιν ἐπισκόποις τανῦν μὴ παραχωρεῖν ἑτέροις τῶν αὐτῶν θρόνων συγχωρῆσαι τοσυνόλον καθὰ δήμοι μανσήλιος καὶ δαμόντες τὼ ἐπισκόπω φθονήσαντε πεποιήκατον.

Haec Epistola forte *Arsenii* Monēbasiae est.

Ἀκηκόαμεν ὡς ἐς κρήτην ἐπέμφθη γραφὴ παρὰ τοῦ ἄκρου ἀρχιερέως, αἰτήσει τῆς σῆς μεγίστης αἰδεσιμότητος, μήτε τοὺς λοιποὺς τῶν μαθημάτων ἱερέων ἀπαγορεύουσα προκαιροῦ λαμβάνειν τὸ σιτηρέσιον παρὰ τῶν συμπαθῶς καὶ ταῦτα πρὸς ἡμᾶς γε διακειμένων, καὶ διὰ τοῦτο πρὸ τοῦ γαμηλιῶνος, οὗ πρὸς τὰ τέλη καταβάλλειν ὀφείλουσι τῇ πατριαρχικῇ τραπέζῃ τὰ ὀφειλόμενα, τοῦτο ἡμῖν προδιδόασι μηδὲν ἀηδὲς καὶ πάντα ποιοῦντες τῇ ὑμετέρα παναγιότητι, ταῦτα μαθόντες, ὑπεικτέα ἔδοξεν εἶναι σοῦ τοῦ ἡμετέρου δεσπότου βουλομένου τε καὶ προστάττοντος, οὐ μὲν ἀλλὰ καὶ αὐτὸς, παναγιώτατε δέσποτα, πρὸς θεὸν, πρόας-

ςαξον τοῖς καλοῖς ἐπιτρόποις μὴ ἀναβάλλεσθαι ἀποδοῦναι ἡμῖν τὸν μισθόν. εἰώθασι γὰρ οὐκ ἀποτίειν αὐτὸν, πρὶν ἂν ἡμᾶς ἴδωσι πολλάκις τῆς ἡμέρας περὶ τὰς ἐκείνων θύρας γε ἀναστρεφομένους, καὶ πρὶν ἂν γνῶσιν ἠρβύλας τὸ ἔλαττον κατερρωγότας ὀκτώ. ἢ δοκεῖς τὸν μοναχὸν ἱερώνυμον, καὶ ῥόδιον τὸν ἐκεῖνον συνόμιλον ἐπ' ὠφελείᾳ τῇ σῇ, ἀλλ' οὔτῃ ἐκείνων αἰτησαμένους τοιαυτί. ὥς τ' ἀπορῶ μᾶλλον χρημάτων τοῦ πραγματεύεσθαι, ἀλλ' ἡμῖν μὲν εἴτε παρὰ τούτων εἴτε παρ' ἐκείνων ἀπολαμβάνειν αὐτὸν ἐν καιρῷ ἐπεὶ δὲ καὶ ὑμετέρα πανάγιότης ἀκριβῶς εἰδυῖα τὴν ἐκείνων γε αἰσχροκερδίαν, δι' ἣν ὀφείλουσι χρυσίνους ὡς ἀκήκοα τῶν τριακοσίων ἐπέκεινα, καὶ μὴ δυνάμενος φέρειν ἐκείνην εἰς τὸ ἑξῆς, συνεχώρησας ἑτέρῳ ἀρχιερεῖ τοῦ πατριαρχικοῦ ἀξιώματος, δήλωσον δικαίῳ τῇ ἐκείνου αἰδεσιμώτητι ὅπερ δὴ θαῤῥῶ καὶ πεπείνηκας, τὴν συμφωνίαν ἣν ἔχομεν πρὸς ἀλλήλους, οὐκ εἴωθας γὰρ ἄλλως ἢ τὰ ὑπεσχημένα διατρεῖν τε καὶ διαπράττεσθαι. καὶ πρὸς τούτοις διάθες αὐτὸν, ὥστε πρὸς ἡμᾶς εὔνοιαν, μήτε ἡδίω μήτε ἐπιεικεστέραν τῆς σῆς δεσποτείας ἐνδείξεσθαι.

ἘΚ τῆς πελοποννησίου ἐπιδαύρου ἐς ἐνετίας ἐπανιὼν, ἀναγκαίων πραγμάτων κατεπειγόντων με, βίβλον αὖθις ἥκω κομίζων ἀξιολογωτάτην, καὶ ἀναγκαιοτάτην ἴσως τοῖς μέχρι φιλοσοφίαν σπουδάζουσιν, ἀλλὰ καὶ τοῖς

περὶ τὰς μαθητικὰς ἐπιςήμας γεγυμνασμένοις τα μάλιςά γε συμβάλλεται, τοσαύταις πραγματείαις βίβλος αὕτη ἐναβρυνομένη σεμνύνεται, ἀλλ᾽ ὁ ταύτης πατὴρ, ἄγνωςος ἡμῖν γε διατελεῖ, τῆς ἐπιγραφῆς ὑπαρχούσης καταπεπατημένης τοσύνολον. πλὴν τοσοῦτον ἠδυνήθημεν ἀναγνῶναι, τοῦ γερασηνοῦ. εἰ δὲ γερασηνός ἦν ὁ γεννήσας αὐτὴν, νικόμαχός ἐςιν ὁ πυθαγορικὸς, γερασηνὸς γὰρ κἀκεῖνος. ὅς ἄλλα τε πλεῖςα καὶ δὴ καὶ περὶ ἀριθμητικὴν συγγραφὰς ἔτυχε διεξοδικώτερον. ἐλπίσας οὖν τὴν βίβλον ἕξειν πολλοὺς ἐραςὰς, εἰ ἐκθείην αὐτὴν τοῖς βουλομένοις κοινὴν, τοῦτο δ᾽ ἂν οὐκ ἄλλων ἐδόκει γενέσθαι, ἢ τοῖς τύποις χρήσασθαι, ἐπιδιορθώσας αὐτὴν ἀκριβῶς, καὶ τὸ σκάζον ἐν τε τόνοις, καὶ ὀρθογραφίαις ἐνερείσας ὡς οἷόν τε ἦν (ἔτυχε γὰρ τὸν τὸ βιβλίον οὐκ ὀρθογραφούμενον) τοῖς τυποῦν ἐπιςαμένοις ἐνεχείρισα συςησάμενος. ἤγε δὴ παρ᾽ ἐκείνων ἐπιμελῶς σὺν θεῷ ἐκτετύπωται. πρόκειται τοίνυν τοῖς ἐραςαῖς, ὀλίγου μισθοῦ τὴν χάριν αὐτῆς ἀποδρέπεσθαι. ἐκτίθημι δὲ τὸ βιβλίον εἰς ὄνομα σὸν τοῦ σοφωτάτου γασπάρεως, δηλῶν μὲν προηγουμένως ὡς ἐξ ἁπαλῶν ὀνύχων τὸ δὴ λεγόμενον, πολλὰ περὶ φιλοσοφίαν γε πονησάμενος, καὶ τὰς λοιπὰς ἀκριβωσάμενος ἐπιςήμας ταμεῖον ἀρετῶν γενέσθαι τὴν σαυτοῦ ψυχὴν προποιήσας, καὶ διὰ πάσης ἐπιςήμης ἐς ἄκρον ἐληλακυῖαν ἀπέδειξας. ἐπεὶ τάδε καὶ πρὸς ἔνδειξιν, ἅμα μὲν, τῶν πρὸς ἐμέσου γενομένων με-

μεγάλων κ̀ πολλῶν δ᾽εργεσιῶν, ῷ δὲ λέγειν καὶ τῶν γενησομένων ἐσέπειτα ἅμα δὲ κ̀ τῆς φιλίας, ἣν ἡμῖν ἀντίςροφος συνέςησε εὔνοια. καὶ εἴηγε τηρημένη, ἐς ἂν ἐν ζῶσι διατελοίημεν, ἐφ᾽ ὧτέ σε μὲν ἐμὲ γεροντα γωγεῖν καὶ περιέπειν· ἐμὲ δὲ τὰ σὰ γεραίρειν καὶ ἐκθειάζεσθαι.

Insequens Epistola *Arsenii* Archiepiscopi Monembasiae fortassis fuerit, scripta quidem sub *Clemente* VII. cuidam viro praeclaro Romae tunc versanti, & quidem Graeco. Vereor ne *Antonio Eparcho* scripta sit.

ΜΕγίςη τῷ ὄντι κ̀ ἀξιάγαςος κ̀ ἐπαίνε παρὰ πάντων ἡ περὶ τὸ ἡμέτερον γένος κηδεμονία παρὰ τῆς σῆς μεγαλοπρεπείας καὶ λογιότητος, κ̀ ταύτην μὲν καὶ ἐξ ἄλλων ἴδοι τις ἄν, μάλιςα δὲ ἐξ ὧν τὸν διδασκαλικὸν λόγον ποικίλον καὶ πολυανθῆ τέτον ποιεῖς. ὁρῶν γὸ τὰς τῶν ἑλλήνων λόγες τὰ λοίσθια πνέοντας...... δέπω κ̀ τήμερον (καλῶς ποιῶν) ἐκείνοις πάνυ συνάρασθαι καὶ τέτοσε πρὸς τὸ γένος τῆς ἄκρας σύμβολον σχέσεως. ἀλλὰ σὺ μὲν τοιοῦτος. ἐγὼ δὲ, κ̀ διὰ τὸ τῆς ἐκείνε βελτιώσεως καὶ τῆς πρὸς τὰ καλὰ ἐπιδώσεως ἐπιμελῶς τε καὶ ἐμπονῶς με κήδεσθαι, τοῖς σοῖς ἴχνεσιν ὁ

σὴ

ση δύναμις ἐπακολουθοῦντα, προσηκὼν εἰμὶ παρὰ τῆς σῆς λογιότητος ὑπακούεσθαι, καὶ ταῦτ' ἐπειδή. καὶ τὴν βουκοδομουμένην ἔνδοθέν μοι ἐπικουρίαν πρὸς τὴν τῶν λόγων ἐπίδοσιν προσενεγκεῖν, εἰς προὔττον ἔκεινα δεῖν, ὅπως ἂν δαναςαίης μᾶλλον πρὸς τὴν ἐκείνων ἀντίληψιν. τοιγῦ ἄμφω τὰ χρέη τοναίοις ἀποτινῦντες, ἐγὼ μὲν τῷ μνημονεύειν καὶ ἀναμιμνήσκειν, σὺ δὲ τῷ πράττειν μηδοπωσοῦν τὸ σύνολον λήξωμεν, ἐπὶ λέοντος τῷ ἄκρυ ἀρχιερέως αἴτιος ἐγένυ τοῖς τῶν ἑλλήνων βυλομένοις μὲν, μὴ δυναμένοις δὲ, τῇ πενίᾳ, τῆς περὶ τὰς ἑλληνικὰς λόγυς σπυδῆς, πείσας τὸν ἀρχιποίμενα γυμνάσιον ἐνεργεῖν ἑλληνικὸν ἀναδεῖξαι δυοκαίδεκα μειρακίων ἑλληνικῶν, ὅ δὴ καὶ ἀνέδειξαι σοῦ καταβαλλόντος τὰ σπέρματα, ὁ δὲ τὰ σπέρματα καταβαλὼν ὡς ὁ καλὸς...ῥήτωρ οὗτος τῶν φύντων αἴτιος. μέχρι μὲν οὖν ἐκεῖνος διετέλει τοῖς ζῶσι συναριθμούμενος, καὶ αὐτὸς παρὼν ἐτύγχανες ὁ τὰ καλὰ σπέρματα τοῖς ἐκείνου ὑποσπείρων ὠσὶν, ἐπίδοσις οὐ μεσαία τῷ γυμνασίῳ ἐγίγνετο. ἀποιχομένυ δ' ἐκείνυ, φεῦ κακοδαιμονίᾳ τῇ ἡμετέρᾳ, συναπέσβυ καὶ τὸ γυμνάσιον. ἀλλ' ὦ θειότατε, ὑπερίσασο καὶ αὖθις τῷ γένους. ἐν σοὶ γὰρ μόνῳ τὸ τῶν ἑλλήνων γένος ἐξήρτηται. θέλησον καὶ εἶναι κἂν τῇ ἑλλάδι τὰς λόγους ἀνθῆσαι, ὁ τῶν λόγων γε πρύτανις, ἤδη ἀπομαρανθέντας, μᾶλλον δὲ καταξηρανθέντας τοσύνολον, ἔργον τέλεσον καὶ πανῦν τιμιόντε καὶ ἐπιπετὲς ἐμοί τε ἰδίᾳ καὶ παντὶ τῷ γένει κοινῶς

χρη-

χρησιμώτατον. εἰ γὰρ κλήμης ὁ ἄκρος ἀρχιερεὺς ἐπιβεβαιώσειε τὰ παρὰ τοῦ ἀρχιποιμένος λέοντος ὑποσχεθέντα μοι καὶ συγχωρηθέντα, ἔχομεν πάλιν αὖθις εὐεργεσίαν, οὐκ ἐλάττω τῆς προτέρης ἐκείνης, ἧς διὰ τῆς σῆς μεγαλοπρεπείας ἐτύχομεν. ἵνα δ' ἐγνῶς τὴν εὐεργεσίαν ἐκείνου τοῦ φιλέλληνος λέοντος καὶ καλοῦ ἀρχιποίμενος, πέμπεταί σοι τὸ ἱερὸν τῆς ἱερᾶς ἐκείνου γραφῆς, ἣν ἐπιδείξας τῷ ἄκρῳ ἀρχιερεῖ καὶ γονυπετήσας ὡς ἀπὸ τοῦ γένους παντὸς αἴτησον ἐπικυρωθῆναι, καὶ παρὰ τῆς αὐτοῦ παναγιότητος τὰ δόξαντα τῷ φιλτάτῳ αὐτοῦ ἀρχιποίμενι, καὶ διαμένειν ἀμετακίνητα, καὶ μὴ ἀποπέμψαι ἐξίτηλα πρὸς θεοῦ. ἄγε τοίνυν ἀσμένως καὶ προθυμῶς βοήθησον, διὰ σοῦ γὰρ τὰ τῶν ἑλλήνων ἀνέσιν ἀναθῆλαι. σοῦ γὰρ τῶν πραγμάτων ἐρρωμένως συναραμένου καὶ αὖθις βεβαίου τοὺς λόγους, ὁ πρύτανις τῶν λόγων. σοῦ γὰρ ἄνευ τῆς συμμαχίας μετὰ θεὸν, τοξεύσομεν τε ἐς οὐρανὸν, καὶ ἐς τετρημένον πίθον ἀντλήσομεν, ὃ μὴ γένοιτο χειρὶ παντάναξ.

Ἱερόθεος μητροπολίτης μονεμβασίας τῷ φιλαδελφείας ἀρχιερεῖ κυρίῳ γαβριὴλ τῷ σεβήρῳ.

ΘΑλάσσαις ἐπαίνων ἡμᾶς κατεπόντισας, θεοῦ θεράπων θαυμάσιε, καὶ τῶν αὐτοῦ θείων τελετῶν μύστα καὶ μυσταγωγὲ, καὶ ποταμοῖς ἐγκωμίων κατέδυσας ἐν ἁγίῳ πνεύμα-

τι

τι, ἀγαπητὲ ἀδελφὲ καὶ συλλειτοῦργε. ἀνθρώπους παιδόθεν ὡς εἰπεῖν ἀκρατοῦ μετασχηκότος τοῦ χείρονος. καὶ στοιχείου τοῦ κατωτάτου τοῖς χηραμοῖς ἀεὶ ἐμμένοντας. ἅτε τὰ καθαίροντα φύσιν πνεύματος τοῦ φανταστικοῦ, αἴσθησιν οὖσαν αἰσθήσεων; δι' οὗ δεξιᾷ τοῦ θεοῦ χρηματίζομεν, ἔργα μὴ ἀγωνισάμενοι, καὶ ἀπολέμενοι φυλάττειν ὑποχεθέντες συντηροῦντα τὸ ἀκριβὲς τῆς εἰκόνος περ' ὡσάμοι. ἀλλὰ μέχρι μὲν τῆς τοσαύτης ἐπιρροῆς ἀντέχειν ἐνόμιζον, καὶ διανοίξεσθαι κατ' ὀδυσσέα ἢ λέανδρον κυλινδούμενος εἰς γῆν ἐξενεύσασθαι ἤλπιζον, ἐμοὶ δ' ἂν ἄλλα τοῖς ἐλπιζομένοις καὶ χείρωνα τῶν προτέρον συνέβη τὰ ὕστερον: τὸ γὰρ ὕφος κατ' ἀλέξιν ἀναγινώσκοντι, ἐρράγησαν αἱ τῆς ἀβύσσου πηγαὶ καὶ οἱ καταράκται τοῦ οὐρανοῦ κατὰ τὸ λόγιον ἠνεῴχθησαν, ὅτι ποσειδῶν ἐφ' ἅρματος παροχούμενος τὴν ἀμφιέστιον νηρηΐδας τε καὶ ἐξίτωνας ἔχων, οὐ χειμῶνας, καὶ ζάλας καὶ ἐξικυμίας, ἀλλὰ πεντακυμίας καὶ δεκακυμίας διήγειρε, καὶ πρὸς πέτρας ὑφαλεῖς καὶ σκοπέλους ἀποκρήμνους ἠπείγετο περιρρῆξαι, μόλις δ' ἐκ τῆς τοσαύτης ἀναδὺς θαλάσσης παραδόξως γαλήνης με περιδραξαμένης, ἐφ' ἁπαλήν τινα ἠιόνα κατήχθην, ἄσματος πλῆρες τὸ στόμα, καὶ τὸν νοῦν φρενίτιδος ἔχων παράφορον, ὡς οὐκ ὄφελον, ταῦτα με ἡ τῶν σῶν παρ' ἀξίαν ἐπαίνων ὑπερίψωσις παθεῖν ἠνάγκασε, δέσποτα ἅγιε. τοῖς καὶ τούτων ἐπέκεινα ἡ μελισσαγής καὶ θαύματος ἀξία ἐπιστολή σου περιπετεῖν ἐβιώσα-

σατο. τίς γὰρ ἐγὼ καὶ τίς ὁ οἶκος τοῦ πατρός μου, ὥστε πόλιν τοσαύτην δι' ἐμὲ τὰ μέγιστα εὐδαιμονίζειν, καὶ σωρὸν ἀγαθῶν πλουτεῖν ὡς γράφεις, κἂν τὴν κατὰ κανόνας καὶ νόμους κυβέρνησιν προβάλλῃ, τὸ τῶν πολλῶν ἀνύπαρκτον ἐνεπιδείξῃ τοῦ μέρους σοφιστικῶς σὺ στῆσαι βουλόμενος. ἐμὲ δ' αὐτῆς μάλιστα μέγα τὸ κλέος ἀράμενον καὶ ἀείμνηστον πόλεως τοσαύτης προστατεύειν λαχόντα θεοῦ κρίμασιν ἀρρήτοις ἣν βασιλεῖς ἠρετίσαντο οἰκεῖν ἐν αὐτῇ. καὶ δωρεὰς μεγαλοπρεπεῖς χρυσοβούλλῳ λόγῳ ἐθέσπισαν, προκαθημένην μὲν εἶναι καὶ ὀνομάζεσθαι πάσης πελοποννήσου. τοὺς δὲ λαχόντας, παναγιωτάτους εὐφημίζεσθαι καὶ προεδρεύειν τῶν ἄλλων ἐν ταῖς κατὰ καιρὸν συνελεύσεσιν, εὐκαιρίαν θέσεως, ἐρυμνότητος ἀσφάλειαν, οἰκειτόρων πλῆθος πολύολβον, εὐγένειαν, πολιτείαν, τεχνῶν ἀσκήσεις, πασῶν πάντας εὑρόντας τὰ παρακινοῦντα, εὐανδρείαν τε καὶ εὐφυίαν, καὶ μάλιστα τὸ κάλλιστον πάντων, τὴν τε πρὸς θεὸν πίστιν ποιμένος τε καὶ ποιμνίου, καὶ εἰς τοὺς ἐκείνους ἐνεργοῦντε καὶ ἄρρεπτον παντάπασιν εὔνοιαν, ὡς ἐν πολλοῖς τῶν προλαβόντων χρόνων ἔργοις τὴν πεῖραν ἐπεδείξατο, καὶ τὸ πιστὸν καθάπαξ ἄσειστον ἐγγυήσατο τούτοις. οὐ πρόπαλαι δὲ μόνον ὅτε τὸ σέβας κατ' οὐδὲν ἐλλειπὲς εἶχε τῆς δόλου ὡς αἴμηρα τὴν κλῆσιν ἐσχηκέναι ταῖς ἐνδελεχέσι θυσίαις τῶν ζώων θυομένων τῷ ἀσκληπιῷ. οὐθ' ὅτε ταῖς ἀριστίαις τοῦ περιφανεστέραν ταύτην καὶ περίδοξον τείχεσί τε καὶ

βα-

βάρεσι τελέσαντος ἐπὶ ταύρου ἐκαλλύνετο, γενναίους καὶ πρὸς πάντας θαυμασίους τοὺς οἰκήτορας ἔθρεψεν. ἀλλὰ μέχρι καὶ νῦν εἰ καὶ ζυγὸν δουλείας φεῦ ὑπῆλθεν, οὐ λήγει ἄνδρας τοῖς ἀρίστοις διὰ μνήμην ὄντας, καὶ πρὸς φιλοσοφίαν ἐξ οἰκείας ὁρμῆς καὶ ἐμφύτου ἔρωτος κεκινημένους ἐκφύειν. καὶ δεῖγμα τῶν λόγων ἀναμφίλεκτον ἡ κατὰ πάντα σὴ αἰδεσιμότης, ὅτε βαθύνους χωνιάτης νικόλαος, καὶ ὁ ἀγχίνους κόμης ὁ μαμωνᾶς, οἳ ἐξ ἁπαλῶν ὀνύχων ὑπερειδόντες πάντων ἐν τῷ βίῳ τερπνῶν, σωφρόνως τε καὶ εὐσεβῶς καὶ ἀνεπιλήπτως πολιτευόμενοι διατελεῖτε πρός τε φιλοσοφίαν καὶ τὴν ἄλλην τῶν μαθημάτων σπουδὴν ὀξύτι φύσεως, δηλοὶ ἐν πυρὶ κατὰ τὸ παροιμιῶδες εὑρεθέντες εἰς ἄκρον κατὰ τὸν νῦν καιρὸν ἐφθάσετε παιδείας, ἀσφαλῆ τούτοις τὴν κρηπίδα ἐνθέντες ὑπ' ὀρόφῳ τῶν μαθημάτων πρὸς θεὸν ἀνελθεῖν καθ' ἑκάστην ἐρίζετε, εὐδαιμονίαν τὴν ἐσχάτην μόνον καὶ ἐραστὸν ἔρωτα τοῦτον εἰδότες ὑπὲρ ὧν σοὶ μὲν κατὰ παῦλον ὡς καλῶς προϊσαμένῳ τῆς τοῦ χριστοῦ ποίμνης διπλὴν τὴν τιμὴν χρεωστοῦμεν, καὶ περισσοτέραν ὡς ἐν λόγῳ κοπιῶντι καὶ διδασκαλίᾳ, τοῖς δὲ τιμὴν τὴν προσήκουσαν καὶ βαθμὸν τὸν πρέποντα ἐν καιρῷ ἀποδοῦναι τῷ οἰκείῳ, καὶ θεοῦ δέεσθαι τοῦ τὰ τέλη τῶν ὑψηλοτέρων συνάπτοντος ταῖς ἀρχαῖς τῶν ταπεινοτέρων κατὰ τὸν θεῖον διονύσιον, καὶ ἀναβάσεις διατιθεμένου ἐν καρδίαις ἰσχὺν ἐπιδοῦναι πέρας αὐτοὺς ἐπιθέσθαι τῆς ἐπαινουμένης ἀρχῆς, ὁλικῶς τε

ἑνω-

ἑνωθῆναι κατὰ μέθεξιν τῷ στεφοδότῃ, οὐκ ἄρα τὴν πόλιν ἐγὼ, ἀλλὰ τὸ ἀνάπαλιν εὐδαιμονίζειν, τὰ γὰρ αἰσθητὰ κινοῦσι τὴν αἴσθησιν, καὶ τὰ φαντάσματα τὸν δυνάμει νοῦν, ὡς ὁ φιλόσοφος ἐν τῷ γ' περὶ ψυχῆς ἀποφαίνεται. εὖγε σοι τοίνυν, καὶ χάρις σοι τῆς πρὸς ἡμεῖς τοσαύτης διαθέσεως, ἀρχιερέων ἐλλογιμώτατε. ἐθισθεῖσα γὰρ ἐκ βρέφους ἡ εὐμαθὴς καὶ ἁπλῆς ψυχὴ πρὸς πᾶσαν ἰδέαν ἀρετῆς, ὡς οἱ παρ' ἡμῖν μεγαλοφυῶς εὐδοκιμήσαντες παῖδες θεόσοφοι, οἳ τοὺς κύνας εὐλογημένους ἐκάλουν. καὶ τὸ τῶν ἀκκιζομένων πορνῶν κάλλος καὶ μύρων ἀποζουσῶν ἐπὶ ψυχικὴν ἀρετὴν λαμβάνειν τοὺς ἀπταπομένους ἐδίδασκον, ἐξ ἔθους δὲ καθ' ἕξιν τῷ ἐπιπόνῳ τὸ καλὸν κτησαμένη, πάντας καλοὺς, πάντας ἁγίους εἶναι ὑπολαμβάνει. εἴωθε γὰρ πᾶς τις ἐκ τῶν οἴκει φαντάζεσθαι τὰ ἀλλότρια, τὴν ἡμῶν οὐθενότητα, πρὸς θεὸν εὐσέβειαν, πρὸς ἀρετὰς πάσας ἐπισηπότητα. παιδείας πηγὰς ἐν στόματι ὠφελούσας τοὺς ἀκούοντας διὰ πρυσίου κεκτῆσθαι γράφων ἐπιστέλλεις, πάντων ἀμοίρους ὄντας, πρὸς δὲ καὶ κατεστίκτους κηλῦσι τῶν καθ' ἑκάστην ἀτοπημάτων: ὁ θεὸς σοῦ τοίνυν τὴν ἱερὰν κεφαλὴν στεφάνοις τοσούτοις ἐν τῇ ἀποθέσει τοῦ πολυπόνου σώματος ἀναδήσειεν, ἐν γήρᾳ πίονί τε τὴν ἐξαγωγὴν τοῦ βίου χαρίσαιτο, περιόντι δὲ πλουσίαις αὐτοῦ ταῖς δωρεαῖς ἔξωθέν τε καὶ ἔσωθεν κατακοσμήσειεν, ἀνθ' ὧν εἰς ἡμᾶς ἐνέδειξας ἀγαθῶν. οὐδὲ γὰρ τῆς ἡμετέρας ἀξίας ἀνταποδοῦναι τὰς ἀ-

μοι-

μοιβὰς τῶν πσύπων ἐυργεσιῶν. ἢ δέως δ' ἔτι δικαιολογισαίμην, μὴ ὀληγωρίαν τὴν μακράν μου σιωπὴν ὑπολάβης φίλτατε, ἢ λήθην τῆς ἀδόλυ καὶ καθαρᾶς συ φιλίας. σὺ γὰρ πρωῖνον ἐνθύμημα, σὺ καὶ δειλινὸν ἐντρύφημα, ἀλλ' ὁ τῆς μακρηγορίας αἴτιος μπατέρος καὶ οἱ κατ' αὐτὸν ληςρικῶς καὶ ὐ διὰ τῆς θύρας εἰσερχόμενοι λύκοι ὕβρεις ἀτιμίας, ζημίας, καὶ χολὴν μὴ κεκτῆσθαι τοῖς φίλοις ἀντιγράφειν προυξένησαν. πάντα θεσμὸν ἐκκλησιαςικὸν, πᾶσαν διάταξίαν ἐκκλησίας χριςιανικῆς ἐκ βάθους ἀναςρέψαντες, ὁμόφρονάς τε καὶ σύμφρονας, τοὺς μὲν φόβῳ τῶν κρατούντων, τοὺς δὲ διαφθορᾷ χρημάτων, ἄλλους δὲ ἐλπίδι μείζονος βαθμοῦ καὶ κέρδους φεναχίσαντες ὑπηγάποντι πάντας τοὺς γενικοὺς ἀρχιερεῖς. ἐγὼ δὲ ἀσυνετοῦντας ὁρῶν ἐξεπηκόμην ὅτι θεῶ δικαιωμάτων ἐπελήθοντο χωλάναντες ἀπὸ τῶν βίβων αὐτοῦ. κανόνας καὶ νόμους καὶ τὸ τῆς ἀρχιερωσυνης σεβαςτὸν χρῆμα, παικτὰ γεγονότα, μὴ ἀνεχόμενος ἐλάλουν, ἐςηλήτευον τὸ ἀτοπώτατον καὶ ἀσεβὲς τοῦ ἐγχειρήματος. οἱ δὲ πρὸς τὸ κακουργεῖν προχειρότατοι τὴν τοῦ ὀνείδους μὴ φέροντες ἀλήθειαν, διάμοφρον δραξάμενοι ἔγκλημα τῷ βασιλεῖ καὶ τοῖς αὐτοῦ προςάγμασιν' αὐθήςασθαι μικροῦ δεῖν καὶ κατέλυσαν ἡμᾶς, καὶ εἰς ἐρέτας ἐγκατέμιξαν, εἰ μὴ θεὸς διὰ τοῦ λαοῦ τὰ αὐτῶν βουλεύματα ἐματέωσεν. ἀδείας δὲ νῦν μόλις καὶ εἰρήνης μερικῆς ἀπολαύσας τῆς διετοῦς ἀποδημίας ἐπιςέλλω σοι ταύτην τὴν βαττα-

ρι-

ρικὴν ἐπιστολὴν, ψυχροτέραν μὲν τῆς κασπιακῆς χιόνος, καὶ τῆς κελτικῆς κρυστάλλου ταῖς λέξεσι, θερμοτέραν δὲ τῆς πυλάδου καὶ ζωπίρου φίας, τῇ προαιρέσει. εἰ δὲ καὶ αὐχμὸν νιὸς ἐν τοσαύτῃ ἐπομβρίᾳ λέξεων ἔχει, ἡ ἔμφυτος καὶ πολυμαθεστάτη σου ἀγχίνοια τὸ κεχηνὸς καὶ πίπτον τοῦ μέτρου τῷ τῆς φιλίας σταθμῷ ἀναπληρωσάτω ἔρρωσο ἐν μέσῳ πολλῶν ἀρχιερατικὴ σηνεσις, καὶ ἡμῶν ἐν ταῖς πρὸς θεὸν εὐχαῖς σου μέμνησο. ὁ ἐν ἀρχιερεῦσι ἐλάχιστος καὶ σὸς κατὰ πάντα, ἱερόθεος ὁ μονεμβασίας τῆς σῆς πατρίδος, ἀπὸ καλαμάτης, ἐπιστέλλω σοι μίαν ζωὴν μνήμης ἀγαταιχάεις.

Ἀνωνύμου, ἢ τοῦ ἡμετέρου δεσπότου γαβριὴλ τοῦ φιλαδελφίας.

Ἀρτίως μοι ὁ λογοθέτης προσελθὼν εἴρηκεν, ὡς διὰ φροντίδος ἔχει πρὸς ἡμεῖς ἀφικέσθαι. ὑπερφρονεῖ γὰρ θαλάττης, καὶ ὁδοῦ μακρᾶς, καὶ τῆς ποθεινῆς ἕνεκα πατρίδος. ἀσπάζομαι γοῦν καὶ αὖθις τὴν σὴν θεσπεσίαν κεφαλὴν, καὶ ἀποστέλλομαι σοι ἐγχειρίδιον τι ἡμέτερον περὶ τῶν μυστηρίων, μικρὸν μὲν πώντι καὶ εὐτελὲς καρπὸν δὲ φέρον θεῖον, καὶ τοῖς εἰς ἔπειτα κλέος προξενήσει ἀναμφιβόλως σωτήριον.

Κυρίῳ Γαβριήλῳ Συμεὼν εὖ πράττειν.

ΕΓώ μὲν καὶ νῦν ἀκριβῶς εἰδώς εἰμι, ὅτι κατὰ τὸ ἀριστοφάνειον ἐκεῖνο λόγιον πέπονθα. ὅπερ παλαίποτε, εὐριπίδῃ καὶ δικαιοπόλει προσαιτοῦντι ἐπέβη γενέσθαι. αὐτὸς δ᾽ ὥσπερ ὁ εὐριπίδης σαφῶς οἶδα, τοὐμὸν οὖν πείσῃ τοῖς ὑπ᾽ ἐμοῦ ἐς ἀεὶ ἐνοχλούμενος, ἀλλ᾽ ὡς χρυσομύσης, καὶ τοῖς εὐαγγελικοῖς δόγμασιν ἑπόμενος κατ᾽ ἀκρίβειαν, εὖ θὲ τὸ ὑπ᾽ ἐμοῦ σοι φερόμενον ὀχληρὸν ὑπολήψει, καὶ τοῦτο ὡς τὰ πολλὰ τῆς σῆς χρηστότητος τεκμήριον, περὶ οὗ σοι πρὸ ὀλίγου ὁ κύριος ἐμμανουῆλος γέγραφε ὁ ἐμὸς λόγος ἀνδρῶν ἄριστε, ὅπερ εἰ βούλεαι τὸν κύριον ἰωνᾶν ἤπερ τῶν φίλων ἕτερον μετὰ τοῦ γράμματος, πρὸς τὸν ἐν ἄρχουσι ῥαβένα, ἀποσταλθῆναί σοι, καὶ ἐξ ἐκείνου, ὡς ἔθος, τἀργυρία λήψεται. αὐτὸς δέ μοι καὶ ταῦτα ἐν μεγίστῃ χρείᾳ ἀποστελοῖς, καὶ τοῦτο μετὰ τῶν ἄλλων οὐ ποτὲ λήθης γενήσεταί σου ἕνεκα ἄξιον. πρὸς τούτοις καὶ ταυτασὶ τὰς ἐπιστολὰς τῷ ἀκαρνάνι ἐκείνῳ, ὡς προείπομεν παρέξειας, ὃν ἱκετεύω τὴν ταχίστην ταύτας ἀποστέλλεσθαι. ἔρρωσο γαμηλιῶνος ἕκτῃ ἐπιδέκα ἱσταμένου. ἐκ πατταβίου.

ΟΥ᾽ μετρίως ἥσθην, πανιερώτατε δέσποτα, τὴν σὴν ἐνετίαζε ποθεινοτάτην ἡμῖν τε ἀκηκοὼς ἄφιξιν. ὅσων γὰρ λυπῶν αἴτιος ἡ σὴ ἀφ᾽ ἡμῶν

ἡμῶν ἀποδημία ἐγένετο, τοσέτων ἐξ ἀμοιβᾶς εὐφροσύνων ἡ πρὸς ἡμᾶς σοῦ ἐπιδημία κατέστη, εἰκότως μάλλα. συναυξηθείσης γὰρ πῶς ἤδεμε, καὶ συντακείσης τῆς ψυχῆς τῷ λαμπρῷ κάλλει τῆς σῆς μεγαλονοίας τε καὶ καλοκαγαθίας, εἶτα τοσῦτον ἀποληφθείσης χρόνον, πονήρως διεκείμην, καὶ τὴν πολυχρόνιον ταύτης ἀπουσίαν φέρειν ἐκ ἐδυνάμην, μέχρι καὶ τῆς πρόξιτα, ἐν ἧ τὴν σὴν εὐαγγελισθεὶς ἐπάνοδον, ὥσπερ ἀπὸ μηχανῆς ἐξαίφνης λήθημοι τῶ πάθες ἐγένετο, γλιχόμενος δὲ ὡς ὑμᾶς ἀφίξασθαι, καὶ μηδεμιᾶς τό γε νῦν ἔχον ἔσης μοι τὸ παράπαν χολῆς, διὰ καλάμε καὶ χάρτης τὴν σὴν θείαν κεφαλὴν δουλικῶς προσειπεῖν ἔγνωκα. οἶμαί γε μὲν ἐ μετ᾽ οὐ πολὺ ἐπανήξειν ἐνετίαζε, ἵνα καὶ τὴν σὴν ἀσπάσωμαι δεξιὰν, καὶ τὸν ἀγχειρίζοντάσοι τετὶ τἀμὸν γραμμάτιον πρὸ τῆς αὐτῆ ἐπισκέψωμαι ἀποδημίας, ὅνπερ τῇ σῇ πανιερώτητι συνίσημι καὶ τῶτ᾽ ἀξιῶ ἵν᾽ ἀντεμῦ ὡς ἐμοὶ τῦτῳ προσφέρῃ θείῳ ἐμῷ ὄντι καὶ καθ᾽ ἡμᾶς προσήκοντι. τέως τοίνυν εὐτύχει καὶ εἰ τῶτων τῇδε χρῄζεις ὧν ἱκανός εἰμι ὑπεργῆσαίσοι, μὴ γράφε παρακαλῶν, ἀλλ᾽ ἀπαιτῶν χαίρειν. ὀφείλω γάρ. προσειρείσθωσαν πάντες οἱ παράσοι. ἐῤῥωμένως μοι καὶ εὐαγῶς διαβιώης ἡμέτερε κύριε, ἐκ παταβίου, τῷ ͵αφπβ´ ἔτυς, σκιῤῥοφοριῶνος ϛ´ ἱσαμένου.

Τῷ πανιερωτάτῳ καὶ πανσοφωτάτῳ μητροπολίτῃ φιλαδελφίας κυρίῳ γαβριὴλ ὁ ταπεινὸς μητροπολίτης χίου ἱππόλυτος ἐν χριστῷ χαίρειν καὶ ἐν πᾶσι εὐτυχεῖν.

ΑΙ τῶν ἀγαθῶν ἀνδρῶν ἀντιλήψεις, δένδρεσι ἐοίκασιν ἱσταμένοις ἐν τῇ ὁδῷ καὶ καρποὺς ἔχουσιν, ὥσπερ γὰρ ἐκείνοις ἐστὶ, καὶ προσπελᾶν ἀνακωλύτως καὶ ψυχέσθαι ὑφ᾽ αὐτοῖς ἐν ὥρᾳ μεσημβρίας, καὶ καρπὸν δρέπεσθαι, οὕτω πρόκεινται καὶ αἱ τῶν δυναμένων καὶ ἀγαθῶν εὐποιίαι τοῖς θέλουσιν, εἰς κοινὴν ἀπόλαυσιν. τῷ τοι γε καὶ ἡμεῖς εἰδότες τὴν σὴν ἐν θεῷ πανιεροπρεπεστάτην προαίρεσιν. ἀξιώσας ὁ παρὼν (ἢ οἶδας τοὺς παρόντας) κύριος ἰωάννης παππαδόπουλος, υἱὸς τοῦ ποτε ἐκείνου παπᾶ κυρίου κοδομήνου, μετὰ τοῦ ὑμετέρου καὶ ἡμετέρου ἐν ἱερεῦσι τιμιωτάτου κυρίου ἀντωνίου ναθαναήλου ἀξιῶσαι τὴν σὴν τελειότητα, εἰ μὴ ἀπαξιώσῃς δοῦναι χεῖρα βοηθείας αὐτοῖς ἐν τοῖς αὐτόθι ἐν οἷς χρήζωσι μετὰ δικαιοσύνης καὶ αὐτοῖς κατ᾽ ἀμφοτέρων συνοίσονται, καὶ τὸ πᾶν εἰπεῖν, ὡς ἂν θεὸς ὁδηγοίησε, καὶ τὸ παρ᾽ αὐτοῦ σοι δωρηθὲν, καὶ ταμιευθὲν, τοιούτων ἕνεκεν (ἀμαλθείας κέρας πηδάλιον γνώσεων) ἰθύναι ἐν καιρῷ δηλαδὴ τῷ προσήκοντι. ἐρρώσομεν ἐρρωμένου ἐν κυρίῳ ἐρρωμένος δεσμὸς ἀλληλένδετος. βάσκανοι καὶ λῆροι μὴ τὴν σὴν παρακρουέσθωσαν φρόνησιν, ἡμεῖς γὰρ σοι οἰκέται ἱκέσιοί ἐσμεν (ὡς καὶ πάντες οἱ κατὰ θεοῦ φιλίας οἴδασι καὶ διὰ ζώσης φωνῆς προεί-

πω-

πομῦν) ἐφ' ὥρῳ ζωῆς ἡμῶν. σύγγνωθι πρὸς βίον γράφοντι.

Τῷ πανιερωτάτῳ καὶ σοφοτάτῳ ἐν ἀρχιερεῦσι κυρίῳ γαβριὴλ τῷ φιλαδελφίας ἐν ἁγίῳ πνεύματι ἀγαπητῷ ἀδελφῷ καὶ συλλειτουργῷ κοσμίως πάνυ καὶ αἰδεσίμως ἐγχειρισθείη.

Πανιερώτατε, καὶ σοφώτατε μοι φιλαδελφίας δέσποτα.

Οἷς ἑλληνικοῖς ἐνατενίζειν με γράμμασι, τὰ τῆς θείας σου ψυχῆς ἐφευρήματα πειρο[ξ]ήνει τυμία μοι κεφαλὴ, πρὸς σύνθεσιν λόγων διεγείροντα καὶ τὸν ἄκοντα, ἤδητε τοῦ χρονίου ὕπνου. ὡς ἀληθῶς τοὺς ὀφθαλμοὺς ἀποσείοντα φαίνεται, πρὸς ἐπίγνωσιν τῶν ἐσφαλμένων βεβαρημένους αὐτοὺς ἀπὸ τῆς ἀμαθίας ἐπιστειρόμενα. τί γὰρ οὐχὶ πρὸς σὲ τ' ἀληθῆ λέγειμι; ἐξ ὅτε τοῖς νόμοις ἐγκείμενος πέφυκα τῇ τῶν ἰδιωμάτων δεινοτάτῃ καὶ εὐπορωτάτῃ ταῖς λέξεσι οὐδένα φόρων προστάξας, ἀνδράσι τοιούτοις τοὺς σκινδαλμοὺς αἰσχύνομαι καὶ ψελίσματα ἀποφαίνεσθαι, καὶ τούτους ἐρυθριῶ ὑπ' ἄλλων προσβλεπομένους ἀκούων. ἀλλ' ἔμοι καὶ ταῦτα πρὸς ἡδονὴν εἰ τῶν σῶν οὐκ ἀνάξια δὴλων νομίζοιτο, ὑπὸ τοιούτων καὶ μάλιστα, φίλων δηλέγω προσοχαζόμενος, οὐκ ὑπὸ φιλαιτίων καὶ φιλομέμπτων ἀνθρωπίνων τεχνολογούμενα. εἴπερ γὰρ παρ' ὑμῶν μου τὸ ἀμαθὲς ἐπι-

σκιώ-

σκώψηται κριτῶν ἀρίστων, ἀλλ' ἕν γε ἐξ ἀξίου τοῦ ξύλου (κατὰ τὴν παροιμίαν) ὑποίσω τὸν ἔλεγχον ἐπικομπάζων, τὴν τοῦ καιροῦ καὶ μάλα ἀσχολίαν εἰδότων, τὴν τοὺς ἐν παταβίῳ γυμναζομένους μᾶλλον πρὸς τέχνην ἐπαγγελίαν τὰ πρὸς τὸν βίον ἀποφερούσης παρορμῆσαι ἢ πρὸς ἐγκυκλίους μαθήσεις ἀφορμὴν ἐπαγγέλλομεν. ἀλλὰ περὶ μὲν τούτων ἅλις χάριτάς τε μεγάλας προσεπιγνώσομαί σου τῇ θείᾳ κεφαλῇ πρὸς τὸ ὀρθῶς (κατά μοι τὸ δυνατὸν) γράφειν ἐπικουρούσῃ, ἐνδείκνυσθαι γράφων μετὰ τῶν ἄλλων τῷ εὐγενεστάτῳ κυρίῳ ἀλοιζίῳ τὰ γράμματα. περὶ δὲ τῶν βίβλων καὶ καλάμων ὁ ἐν ἱερομονάχοις αἰδέσιμος ἀποκρινεῖται θεοφάνιος τέτταρας ἀποφέρων τὴν εὐσταθίου καὶ κεδρηνοῦ, μετὰ τεσσάρων σοι καλάμων. τὰς δὲ λοιπὰς αὐτὸς οἴσω. ἔρρωσο θεῖα καὶ πανιερωτάτη ψυχή. εὖτ' ἀσπάζεταί σου τὴν πανιερώτητα εὐσεβῶς τὼ χεῖρε προσκύνων ὁ κύριος ἰωάννης ὁ φωναφεύς.

Ἐκ παταβίου, τῆς σῆς πανιερότητος ὁ κατὰ πάντα δοῦλος

Ἀνδρέας ὁ σπεῖρας.

Τοῦ

Τοῦ φιλαδελφίας κυρίου γαβριὴλ τῷ σκευοφύλακι τῆς μεγάλης ἐκκλησίας.

ΠΟλὺς μὲν τῶν σῶν γραμμάτων τὴν ἐμὴν κατατέτηκεν ἔρως ψυχὴν, λογιώτατέ μοι μέγα σκευοφύλαξ, καὶ τὸ τυχεῖν με τούτων οὐράνιον ὅσον, καὶ τὸ διακαὲς σφόδρα καὶ διάπυρον. εἰ γάρ καὶ ἄψυχα ταῦτα καὶ οὐχ ὡς αἱ φωναὶ σύμβολα τῶν τῆς ψυχῆς εἰσι παθημάτων, ἀλλά γε τὰς ἐν αὐτῇ διαθέσεις τοῖς πόρρωθέν πως ποθοῦσι καταμηνύουσι, καὶ γίγνονται αὐτοῖς ἔαρ, καὶ ὡρῶν λαμπρότης, καὶ γῆ ποικιλλομένη τοῖς ἄνθεσιν, ἡ τούτων παρουσία. ἔτι δὲ καὶ φιλίας βαθὺς ῥυθμὸς, καὶ ἀκριβὴς σύνδεσμος, καὶ τὰ μὲν τῆς εὐνοίας καὶ τῆς ἀναμνήσεως φιλεῖ αὐξάνειν, καὶ ἀναζωπυρεῖν αὐτὰ, διαστήματι τυχὸν ἢ λόγοις ἐχθρῶν ἀσθενῆ ἢ ἀφανῆ γεγονότα. τὰ δὲ τῆς ἐχθρᾶς καὶ ἀμνημοσύνης ἐλαττοῦν καὶ μειοῦν τὰ μέγιστα. ὅθεν καὐτὸς ἐγὼ τούτοις προσέχων τὸν νοῦν, εἰ καὶ μὴ πυκνοῖς γράμμασιν, οὐκ ἐπαυσάμην προσαγορεύειν τὴν θείαν σου κεφαλὴν, ἣν ἐγὼ ἄκρως ταῖς ἀρεταῖς καὶ λόγοις εὐδοκιμοῦσαν εἰδὼς, πῆ μὲν, ἀφορμὴν ἐνδιδοὺς γεύσασθαί με τῆς ἀττικῆς σοῦ μελίττης. πῆ δὲ τὰ φιλικὰ ἀνανεοῦν προαιρούμενος. οὐ δ' αὐτὸς ἀεισε τῶν καθ' ἡμᾶς πάντων ἀμνημονεῖν ἔοικας, ὁ μηδὲ γράμμασι ποτὲ ἢ λόγῳ πρὸς αὐτοὺς ἡμᾶς φανεὶς προσφθέγξασθαι. τοίνυν ἀπάλλαξον ἡμᾶς τῆς ὅσης ταύτης θλίψεως. καὶ ἀντεπέστειλον ἡμῖν τι τῶν σῶν θεσπε-

θεσπεσίων γραμμάτων, τοῖς αὐτὰ ἰδεῖν τὰ μάλιστα γλιχομένοις. πρὸς τούτοις δὲ ἀντιβολοῦμεν σὲ τὸν τοῦ βίου καθηγητὴν, καὶ αὐτῆς τῆς ἀληθείας ἄριστον φύλακα, ὑπὲρ ἡμῶν φροντίσαι καὶ σὺν τῷ μεγάλῳ λογοθέτῃ τὴν πλήρη φρονήσεώς φημι πολίαν, ψευδοῦς γέμουσαν τὴν καθ' ἡμῶν πεμφθεῖσαν ἔναγχος γραφὴν ἀποδεῖξαι. καὶ τοὺς ἡμᾶς σκαιῶς ἀτιμάσαντας, καὶ παρὰ τὸ εἰκὸς λοιδωρήσαντας, ἐναντίως ἅπασι τοῖς νόμοις βεβιωκότας, καὶ ἐπὶ τοῖς αἰσχροῖς ἐρυθριᾷν οὐκ ἐπισταμένους, τοῖς ἐνταῦθα πᾶσι φανερῶς ἐκδηλῶσαι, μεγὰ γὰρ δῶρον τῳόντι παρὰ τῆς τύχης τοῦτό μοι ἔσται, καὶ ὑμῖν τὰς μεγάλας ὁμολογεῖν χάριτας ἐς ἀεὶ ἀφορμὴ εὐλογοτάτη. ἔρρωσο. αφπγ' φευρουαρίου κβ' ἐξ ἐνετιῶν.

Τοῦ αὐτοῦ.

Τὴν μὲν εὐλογίαν ὑμῶν, πατέρες αἰδεσιμώτατοι, μεθ' ὅσης τῆς εὐλαβείας ἐκομισάμεθα, καὶ ταύτην ὑπὲρ τὸν τοῦ κροίσου θρυλλούμενον ἐλογισάμεθα θησαυρὸν, καὶ πῶς γὰρ οὔ; ἀνδρῶν εὐλογίαν τῶν τὰ τῆδε πάντα μηδὲν κατατιθεμένων, ἀλλὰ τὸ πᾶν διανόημα, πρὸς ἃ ὁ παῦλος ἡμῖν ἐπαγγέλλεται ἐπεκτεινομένων. τοὺς δ' ἀδελφοὺς ὡς εἰκὸς ἀπεδεξάμεθα, καὶ ὡς οἷόντε ἐπικουρήσαμεν αὐτοῖς, ὑφ' ὧν καὶ μεγάτι ἀπονάμεθα, τὴν τῶν αὐθότι μακαρίων ἀνδρῶν

δρῶν τῶν μὴ κατειλημμένων τινὶ τὸν θόρυβον κ) νύκτα τῇ ψυχῇ ἐμποιούντων διαγωγὴν κ) βιωτὴν ὁσημέραι διηγουμένων. τοίνυν καθικετεύομεν τὴν ὑμῶν σεμνοπρέπειαν, μνημονεύειν ἡμῶν ἐν ταῖς πρὸς τὸ θεῖον λιτανεύσεσι, ὅπως δυνηθῶμεν τὰ μεγάλα πελάγη τῆς ἐνταῦθα διατριβῆς κούφως περάσαι, κ) τῶν ἐνταῦθα ὑπερφρονῆσαι, καὶ ἆραι τὸν ἐλαφρὸν ζυγὸν τοῦ κυρίου, κ) εἰς τὸν αὐτόθι λιμένα καταντῆσαι, ἔνθα ἡ τῶν ἀγγέλων χορεία ἐμπολιτεύεται, κ) ἡ ἀληθεινὴ φιλοσοφία ἀσκῆται παρὰ τῶν νοῦν ὑγίαν ἐχόντων. ἐρρώσοτε.

Τοῦ αὐτοῦ.

ΕΙ καὶ μικροῦ τὰ ἡμῶν ἔχειν σε μαλ' ἐπέγνωμεν, κ) ὀλίγα ὡς ἔοικας ποιεῖν τὰ ἡμέτερα, ὅσον γ' ἐξ ὧν διατεκμαίρεσθαι, ἐξ ὧν μέχρι τοῦ δεῦρο μικρὸν γοῦν καὶ ἡμῖν ἐγχαράξαι γραμμάτων διέγνωκας, θειάμοι κεφαλὴ μέγα λογοθέτα, ἡμεῖς δ' ὅμως οὐ παυόμεθα ὑπεραύξειν τὸν διακαῆ, ὃν πρὸς σε τὸν τῆς σοφίας τρόφιμον, κ) τὸν σὸν θεῖον ἀδελφὸν, ἔχοντες διατελοῦμεν πόθον. ἔτι δὲ κ) τὰ φιλικὰ ἐπεκτείνειν, κ) διὰ τιμῆς ἄγειν τὰ ἤματα πάντα ὅποι ἂν διατρίβοντες ὦμεν οὐ διαλίπομεν. ἐγώ γε μὴν τό γ' ἐμὸν εἰπεῖν, ὃς καὶ τρὶς ἐπροσηγόρευσα ὑμᾶς, τοὺς λίαν φιλικῶς κατέχειν ἀεὶ κατ' ἐμαυτὸν ἐννοούμενος. ἐκτελοῦμεν διὰ

ματ-

ματθαίου, ἔναγχος δὲ διὰ νικολάου τοῦ ἱερέως τῶν κυπρίων. οἷς καίτοι τῶν τῆς φιλίας συμβόλων μετὰ πάσης εὐνοίας ἐνεχείρησα. οὐ τόσον τῇ ποσότητι τοῦ πεμφθέντος θαρρήσας, πόῤῥω γάρ μοι ταῦτα πάντα νενόμισαι τοῦ τῶν σοφῶν γενναίου σκοποῦ. ὅσον τῇ ἐν ὑμῖν ἐλευθεριότητι καὶ ἐμφύτῳ συνέσει, ἄλλως τε δὲ καὶ τῶν κατ' ἐμὲ πάντων, οὗ ἂν ἐδεήθητε προθύμως διανύειν πρὸς ἀποδεῖξει. ἀλλὰ πρὸς τοῖς ἄλλοις μοι ἀνιαροῖς καὶ τόγε ἄκρως ὑπὸ τῆς τύχης προστετέθημοι, τὸ ἀποτυγχάνειν με τοῦ ποθουμένου δηλαδὴ, καὶ τὸ διόλου ὑστερῆσθαι οὐχὶ μόνον τῆς ὑμετέρας ὁμιλίας, ἀλλὰ καὶ αὐτῶν τῶν ἡμετέρων γραμμάτων. ὅπερ οὐκ ἄλλοθέν μοι σκοπεῖται τὰς ἀφορμὰς ἔχειν, ἢ τῶν ἐχθρώδως ἡμῖν διακειμένων καὶ ὁσημέραι πλημμύραν σκανδάλων καθ' ἡμῶν κινεῖν οὐ διαλιπομένων. καὶ δισῶ ὑμᾶς τοῦ φιλοῦντος καὶ ποθοῦντος ἐμοῦ, πάντα δὴ τρόπον κατασοφιζομένου. οἶδας μὲν οὓς λέγω, τοὺς δυσγενεῖς, τοὺς συκοφάντας, τοὺς ψευδογράφους, καὶ ψευδοξάρχους τοὺς τὴν ἄτιμον αὐτοῦ διαγωγὴν διὰ γραμμάτων φερόντων μὲν πατριαρχικὸν ὄνομα, ἥκιστα δ' ὄντων ἀληθῶν. παρὰ γὰρ τὴν τοῦ οἰκονόμου συνετωτάτου ἔννοιαν, καὶ ἀείστην αὐτοῦ θέλησιν ταῦτα γε πάντα γίγνεσθαι, θαῤῥῶν εἰμι καλύπτειν ὡς οἷόν τε καταμηχανῶνται. ἀλλ' ἔγχοντ' ἀντικρὺς οἱ παμμίαροι, ὑπ' αὐτῆς τῆς φύσεως καὶ τῆς φήμης, καὶ ἑκαστάχου ὑπὸ τοῦ ἑαυτῶν βίου καταμαρτυροῦνται, καὶ ὡς τοῦ ψεύδους γεννήτο-

ρες,

ρες, ϗ κακίας ἐφόρεται ϗ δόλε παντὸς ϗ φθόνε πίθοι μεμεςωμένοι ἀναφανδὸν ἐκκηρύττονται, οἷς ἐ δεῖ πιςεύειν, ἢ ῥαδίως καταπείθεσθαι ὡς κακούργες ϗ τῦ πονηροῦ κόμματος ὄντας, ϗ τῆς διαβολῆς ἧς οὐδὲν κακεργότερον κατὰ κλεάντη. λάθρα γάρ φησιν ἐκεῖνος ἀπαντήσασα τὸν πεπεισμένον, μῖσος ἀνάπτει πρὸς τὸν οὐδὲν αἴτιον) θρέμματά τε ϗ γεννήματα, τοίνυν βοηθήσατε ἡμῖν, μᾶλλον δὲ τῇ ἀληθείᾳ, τοῖς μηδὲν εἰδόσιν ἢ μικρὸν ἢ μεῖζον ὧν ἡμῶν ἀδίκως οἱ ἐπὶ κακίᾳ διαβόητοι, ἐγκαλοῦντες κατηγοροῦσι. ϗ γὰρ ὡς τοῖς αὐτοῖς δολίοις ἔοικε γράμμασι, θάτερον παθεῖν ἡμᾶς ἐπανεργήσαντο, ἢ τὸν οἰκεμενικὸν ϗ τὲς ὑπ' αὐτὸν πάντας ἀπεχθῶς ἡμῖν διακεῖσθαι ποιῆσαι, ἢ τὴν γαληνοτάτην ἀρχὴν τῶν ἐνετιῶν τιμωρῆσαι ἡμᾶς ϗ δεινῶς κολάσαι, διεγεῖραι, θάνατον γὰρ πάντως ἢ φυγὴν ᾤοντο ἡμῖν ἔσεσαι τὸ παρὰ τῶν ὧδε κρατέντων ψηφισθὲν, ὅπερ πέρας ἂν εἴληφεν, εἰ μὴ κύριος ἐβοήθησεν ἡμῖν ϗ ὑπεράσπισεν, ϗ τὸ ἔλεος αὐτῦ ἐκύκλωσεν ἡμᾶς. ὅθεν ἀξιοῦντες ἱκετεύομεν ὑμᾶς τὲς πάσῃ ἀρετῇ ϗ σοφίᾳ κεκοσμημένες, ὑπὲρ ὑμῶν παντὶ σθένει φροντίσαι, ϗ πάντα κάλον κτ τὴν παροιμίαν κινῆσαι, τέως ἂν ὁ οἰκεμενικὸς νόθον τοῖς ὧδε κρατῦσι ϗ πλάσμα σφαλερῶν ἀνδρῶν τὴν καθ' ἡμῶν πεμφθεῖσαν γραφὴν ἐμφανίσαι, ϗ διὰ προσκυνητῦ αὐτῦ γράμματος ἐσφραγισμένου, τὰ πάντα ψευδῶς ἔχειν τοῖς ἀνὰ τὴν ἰταλίαν πᾶσι φανερῶς ἐξελέγξῃ.

ξῃ. ἔσαι γάρ μοι τῦτο φιλίας ἄκρον τεκμήριον, καὶ τοῖς ἑσπερίοις πᾶσι, κρίσεως ἀκριβοῦς καὶ ἀδώρυ ψήφυ, σύμβολον ἀεὶ φανές. ἔῤῥωσο, αφπγ' φεβρυαρίυ κδ', ἐξ ἐνετιῶν, ὁ ὑμέτερος κατὰ πάντα,

Γαβριὴλ ὁ φιλαδελφείας

Haec Epiſtola ſcripta eſt magno Logothetae magnae Eccleſiae, Conſtantinopolitanae videlicet.

Τοῦ αὐτοῦ.

ΕΙ' καί τινι ἄλλῳ ἐξῆν ἐπὶ μέγα αἴρεσθαι, κὶ ὡς ἄλλος οὐ δεὶς εὐφραίνεσθαίτε κὶ ἀγαλλιᾶν, ἐξῆν ἐμοὶ, μακαριώτατε πατὲρ καὶ δέσποτα, τῷ μάλα ἡδέως τὴν τῆς λαμπρᾶς ἀλεξανδρέων πόλεως παρὰ θεοῦ εἰληφέναισε προςασίαν ἀκηκοότι. πῆ μὲν τῆς ὀφειλῆς, ἣν ἀνεξάλειπτον τῷ μνήμην ἔχοντι καὶ διατηροῦντι. πῆ δὲ τῆς εὐτυχίας ὑπερφυοῦς εὐδαιμονίας, ἣν ἐκεῖνος ὁ θρόνος ἢ ταληθὲς εἰπεῖν ἡ ὑφήλιος ἅπασα νῦν ἀπειληφὼς ἦν, δικαίως καθορῶντι. εὐφρανοίης τοίνυν ἡμᾶς τοῖς μελισαγέσι σῦ γράμμασι, δι' ὧν ἰδικώτως τὰ κατὰ τὴν σὴν θεσπεσίαν κεφαλὴν δηλώσειας, ἡμῖν εὐαγγελιζόμενος. ἴσθι γὰρ ἴσθι, ὡς μεγάλης ἡμᾶς ἐμπλήσῃς εὐφροσύνης τῦτο ποιῶν. τὺς μέ-

χει

χει τοῦ νῦν οὔπω παύλαν, τοῦ μὴ ὑπὸ τῶν ὁμοχήμων ἐνοχλεῖσθαι, καὶ ἐφ' οἷς ἐπεποίθαμεν μὴ ἐπηρεάζεσθαι σχεδὸν ἐφευρηκότας.

Τοῦ αὐτοῦ.

ΜΕλέτιον ἐκεῖνον, ὃν ἐγώ γε διὰ θαύματος εἶχον, καὶ ἔχειν οὔποτε παύσομαι, ὡς τοῖς πάλαι ἄξιον παραβάλλεσθαι καὶ συγκαταλλέγεσθαι θείοις ἀνδράσι, τὸν τῆς ἀλεξανδρείας θρόνον διοικεῖν πνεύματι θείῳ διαδεξάμενον ἐπύθομεν. λείπει τυχεῖν δὲ τούτου τοῦ γράμματος τὰ μέγιστ' ἐφίεμε τὸν ἄνδρα, τῇ σῇ σεμνοπρεπείᾳ φιλικῶς τὰ πρὸς αὐτὸν εὖ μάλα εἰδὼς ἐχούσῃ προσανατίθημι. τοίνυν πέμψειας ἢ ἀποδώσειας αὐτὸ ὅσον τάχος, ἡμῖν τοῖς ὅλῃ ψυχῇ καθικετεύουσι, καὶ τοῖς ἄκρον φιλοῦσί σε καὶ ποθοῦσι, τὰ μέγιστα χαριζόμενος.

Τοῦ αὐτοῦ.

ΕΙ' μὲν τῶν ὄντων οὐδὲν ἀντάξιον εἶναι τοῦ πιστοῦ φίλου οἱ θεσπέσιοι τῶν διδασκάλων φασὶ δι' ὅτι ἂν ἐξισχύσαι μ' εὑρεῖν, ἢ εἰπεῖν ἔχω ὑπὲρ τῆς σεμνοπρεπείας, θεῖαμοι κεφαλὴ ἰωάσαφ. τῆς ἀεὶ ἔργῳ γε καὶ λόγῳ ἡμῖν μνημονευούσης καὶ διὰ θαύματος τὰ ἡμέτερα ἀγούσης,

σης, οὐ πρὸς χάριν ἢ πρός τι τῶν αἰσθομένων ἀποσκοπούσης, ἐφ' οἷς τοῖς νόθοις τῶν φίλων μόνον σκοπὸς ὢν παυσάμενος, καὶ ὁ τῆς φιλίας συνεξηφάνισεν σύλλογος. ἀλλὰ ῥυθμὸν καὶ τάξιν φιλίας τηρούσης ἀκίβδηλον, καὶ ταύτην ἐν παντὶ βίῳ καὶ καιρῷ ἀγαθὸν ὑπερεκτείνειν δὲ εἰδούσης, τοίνυν εὐχαριστοῦμέν σοι τῆς μνήμης καὶ λαμπρᾶς εὐνοίας, ἣν πρὸς ἡμᾶς διὰ τῆς καλῆς σου ἐκείνης ἐνέδειξας ἐπιστολῆς. καὶ ἴσθι μὲν ἀντιφιλεῖν ἡμᾶς αὐτοὺς ἐκ μέσης αὐτῆς τῆς καρδίας τὴν ἐμὴν θεσπεσίαν ψυχήν, ἠθῶν καὶ τρόπων εὐκοσμίαν καὶ θαυμαστὴν σου φύσιν ἣν ἡμῖν ἐμφανῆ κατέθετο, τὰ εὐμεθόδως σοι γραφέντα, οὐ τοῖς παροῦσι μόνον, ἀλλὰ καὶ τοῖς πάλαι θείοις ἐκείνοις ἀνδράσι ἀξίαν εἶναι συνεξετάζεσθαι, καθομολογεῖν οὐκ ἄν ποτε διαλειψώμεθα. ἔρρωσο.

Τοῦ αὐτοῦ.

Εὐχαριστῶ σοι τῆς διαθέσεως, καὶ τῆς πρὸς ἐμέ σου διηνεκοῦς μνήμης, ἐπιεικέστατέ μοι κύριε ἰωάννες, καὶ γὰρ ἤδη τοῦτο σχεδόν μοι συνέρρυητο, καὶ εἰς ἔπειτα τηρηθήσεται ἕως ἂν ὕδωρ τε ῥέει, ἠέλιος λάμπη, κατὰ τὸν ποιητήν. οὐκοῦν ἴσθι, τὸν πρὸς τὸν οἰκουμενικὸν πεμφθέντα ἱερέα, ναυπάκτῳ μόνον προζωκειλάντα ἔνθα στρώματα καὶ τὰ περὶ τὴν κλίνην, ὡς ἐκεῖνος ἐκέκτητο τοῦ ἐπισκόπου χρήμασιν ἐμπορευθέντα

μὴ

μὴ ταὐτὸς ὁ πανοῦργος κομίσαι τὰ ἡμῶν ᾧ ὑπέσχετο προαιρεθεὶς γράμματα, μήτετι τῶν ἐκεῖσ' ἀφιζουμένων διδόναι, ἀλλὰ ταῦτ' ἔχων, οὐκ οἶδ' ὅπως ἀπολέσας ἀπράκτως ἐπάνηκεν. τοιγαροῦν συναλγήθητι τῷ κακῶς πράσσοντι καὶ τῷ ὄντι δυστυχοῦντι ἐπισκόπῳ. καὶ γὰρ δύγνους ψυχῆς τοῦτ' αὐτὸ ἴδιον, τὸν δ' ἀλιτήριον τὸν ἄβουσον. οὕτω γὰρ αὐτὸς ἐκεῖνον καλῶ, εἰ καὶ στεφανίτην αὐτὸν ἐπανελθεῖν οἱ ὑπερεμοὶ ἀπεφήναντο, οἰκονόμον τε καὶ ἔξαρχον πάσης ζακύνθου ποιηθέντα τε καὶ πεμφθέντα ὅπερ νὴ τὴν ἐλπίδα, ἧς κἀυτὸς λάξεις ὧν διατελῶ, οὐ μικρὸν τὴν πᾶσαν ἐκείνην διεδόνησε πόλιν ὥστε μονονουχὶ λέγουσα οὐδοτιοῦν τὸν πεμφθέντα δέξασθαι θέμις, οὔτε μὲν τοῖς πατριαρχικοῖς θεσπίσμασιν ὑπείκειν. ὁρᾷς γε τοίνυν πῶς τὰ ἡμῶν διοικεῖται καὶ ποῖαν τὴν λύμην τοῖς πιστοῖς οἱ ἀμεθόδως τὰς ἀποφάσεις ποιοῦντες προστεννηκοχέναι περασκευάζουσιν, ἀλλὰ τί μοι πρὸς ταῦτα καὶ λέγειν, οἴχεται τὰ ἡμῶν οἴχεται. ἄλλῳ τε ἱερεμίᾳ διηνεκοῦς θρηνεῖν ταῦτα κηίζει. τὰ ἐπὶ τῆς ἡμῶν λαβῆς, εἰ πέρας ἤπερ τὴν ἀρχὴν λείψειεν, δυστυχῆσαι τὰ μέγιστα. αὐτὸς δὲ ὑγιαῖνε, καὶ ὁ τὰ περὶ τῆς ῥώσου ἡμῖν συνεχῆ δήλου μεγάλην ἡμῖν τοῖς βασιλέως ταῦτα μανθάνειν ὑπηρεσίαν ποιούμενος τὸν κύριον ἡμῶν τὸν διάκονον ἀσπάζομαι, καὶ τοῖς ἡμᾶς καὶ σὲ φιλοῦσι τὸ προσῆκον αὐτοῖς ὡς ἐξ ἐμοῦ ἀφειδῶς χορήγησον.

Τοῦ

Τοῦ αὐτοῦ.

Ἤρισε ποτὲ περὶ μὲν ᾠδῆς ὅμηρος ἡσιόδῳ. περὶ δὲ εὐγενείας καὶ δικαιότης φυσίγναθος, καὶ ψιχάρπαξ οἱ γενναῖοι, ὡς παρ' ὁμήρῳ μυθεύεται. ἡμῖν δὲ τῷ τε παιδὶ νικηφόρῳ, κἀμοί, οὐχ ὁ τυχὼν ἀγὼν πρόκειται. ἡ δὲ πάλη, οὐ περὶ λέβητος χαλκέου, ὡς ἄν τε εἴποι, ἀλλ' ὅς τις τὰ περὶ τὸν περίβλεπτον ἀλοΐζον ᾄσεται μουσικώτερον. καὶ συγγνώμη τε ἡμῖν τοῖς ἐν οὐ παικτοῖς παίζουσι, καὶ σκόπτωμένοις ἀνδρὶ, ὅν τινα καὶ πίνδαρος ἐπαινῶν αἰδεσθήσαιτο. ἐγὼ τοίνυν κλαγίῃ τὸν ἀντίπαλον προκαλούμενος, ἄρχομαι δωρικώτερον, καὶ λέγω τὰν ἀρετάντι, οἷα ἦχον τυμπάνου προφερόμενος τὴν ἀρχήν· ὅτι δὲ ὁ ἀνταγωνιστὴς, μένεα πνείει, καθ' ὅμηρον, ὃς ἤρισε περὶ λύρας καὶ ταῖς μούσαις αὐταῖς, ἤδη παρὰ πολλῶν ὁμολόγηται, διὸ δέδοικα, μή τ' ἐπαχθὲς πάθω ὥσπερ ἑρμοῦ ὁ μαρσίας, καὶ τοῖς κυσὶ καὶ οἰωνοῖσιν ἑλώριον καὶ κύρμα γενήσομαι. καὶ τοῦ μὲν τοῦ στιχοπλέκειν ἢ ἀθυρεύεσθαι καὶ ψελλίζειν ἡμᾶς αἴτια, εὐγενὲς ἀλοΐζε. καὶ οὐχὶ πρὸς τὸ αὐτεξετάζειν ταῦτα καὶ ἀντιπαραβάλλεσθαι ταῖς πολλαῖς σου πρὸς ἡμᾶς εὐεργεσίαις καὶ χάρισιν, ἀλλὰ σὺ μὲν οὐδέποτε ἀνύσειν ἔοικας, πάντα τρόπον χαριζόμενος, καὶ τιμῶν ἀεὶ τὰ ἡμέτερα καὶ νῦν ἀπόντος μου δῆλον εἶ. φῂς γὰρ μοι ἐν τῇ καλῇ σου ἐπιστολῇ, συνεχῶς

σου

σε μεμνῆσθαι καὶ πράττειν πάντα καὶ λέγειν. ἃ πρὸς ἐπαινοῦντε, καὶ δόξαν τὴν σὴν ἀφορᾷ. καὶ ταῦτα πρὸς τὸ νικᾶν σε ταῖς φιλοτιμίαις καὶ ἐπιγράμμασιν, ὅτι ἀνθ᾽ ἑνός σοι, πέντε πέπομφα. ἐγὼ δὲ τοσοῦτον δέω τούτοις ἀμοιβεῖσθαι, ὥστε μοι ἀβίωτον ἡγοῦμαι τὸν βίον, ὅτι μή σοι καὶ τρόπον ἄλλον τῶν προυπραγμένων ἐξέστιν ἀποτίσαι τὴν χάριν· τὸ μέντοι διὰ τοῦ θαύματος ἄγειν καὶ ὑπερεπαινεῖν τὰ σὰ κοινὸν ἐμοί γε πρὸς τοὺς ἄλλους τῶν ἀνθρώπων ἁπάντας ἐστιν. οἷς σὺ τοῦ εὖ λέγειν τὰς ἀφορμὰς ὁσημέραι καλοκαγαθίᾳ καὶ τρόπων χρηστότητι παρεχόμενος, δίκαιος εἶ καὶ παρ᾽ ἐμοῦ τοῦτον ἀπολαμβάνειν τὸν ἔρανον. οὐ χάριν οὐδεμίαν μὰ Δία ἀποδιδόναι σοι, διὰ τούτων πειρομένου, οὐδὲ ἐπαινέτου τάξει καθισάντος ἐμαυτόν. οὐχ οὕτως ἀνόητος ἐγὼ, ὥστε μὴ τιμῆς κρείττω τὰ κατὰ σέ. ἄλλῳ μὲν γὰρ ἄλλοτι τῶν δοκούντων εἶναι καλῶν ἔδωκέ φασιν ὁ θεὸς, ὧν ἐφ᾽ ἑνί γε τῷ σεμνύνεσθαι καὶ μεγαλαυχεῖν ἔξεστι τῷ κεκτημένῳ δικαίως. σὺ μέντοι πάντα ταῦτα συλλαβὼν ἔχεις, ᾧ πατρίδα μὲν συνέβη λαχεῖν τὴν πάντων χρησιμωτάτην, προγόνοις δὲ χρήσασθαι τῶν εὐγενῶν τοῖς ἐκλαμπροτάτοις, χρημάτων δὲ περιουσίαν, καὶ πλοῦτον ἄλλος μὲν ἄν τις θαυμάσειε, τῶν ἀτοπώτερον διατιθεμένων, οὐ δὲ τὸν ἀληθῆ τε ἅμα καὶ ὄντως ἀκήρατον ἀσπασάμενος πλοῦτον, τοὺς λόγους φημὶ καὶ τὴν φιλοσοφίαν αὐτὴν, ἐφ᾽ οὕτω παρούσης σοφίας τε καὶ δόξης, ὥστε τῆς ἐν τοῖς λόγοις δεινότητος

πα-

παρὰ πᾶσι σχεδὸν ὁμολογουμένως ἀνῃρεῖσθαι τὰ πρωτεῖα. καί τι τὸ μὲν περὶ τὴν πάτριον δὐδοκιμίας φωνὴν, καὶ μὴ τοῖς ἄλλοις ἐξίσου καθίσασθαι, μεγὰ μὲν καὶ λαμπρὸν, οὐ παράδοξον δ' ἴσως. τὸ δὲ περὶ τὴν ἄλλην, ὡς ἄντις εἴποι, καὶ τοῖς πλείστοις ἄβατον, λέγω δὲ τὴν ἑλληνικὴν, τοσοῦτον διενεργεῖν, ὥς τε παρὰ πάντων θαυμάζεσθαι, καὶ νομίζεσθαι, ἐν τῇ μεσογίᾳ τραφῆναι τῆς ἀττικῆς, καὶ εἰς τὴν ἀρχαίαν ἕλλαδα, καὶ παλαιοὺς ῥήτορας, φιλοσόφους, ἀναφέρειν σου τὴν ἰδέαν τοῦ λόγου, καὶ τοῦ ἤθους. τοιαῦτα μὲν τὰ σὰ, ὦ ἀλοΐζιε, οἷς τὸ γε ἐνδιατρίβειν, ἡ δὴ μὲν καὶ ἄλλως οὐ φορτικὸν, ἀγωνιστικώτερον δ' ὅμως ἢ κατ' ἐπιστολὴν καὶ ἐπιγράμματα, εἰς ἄλλον ἀναβεβλήσθω καιρόν. ὑγίαινε. προσαγορεύσεις σου τὴν φιλόσοφον καὶ θαυμασίαν ψυχὴν, οἱ ἐνταῦθα φίλοι, ἐξ ἁπάντων δὲ μάλιστα νικηφόρος καὶ διονύσιος ἡ τιμία ξυνωρίς. προσηρήσθω μοι ἑταῖρος ὁ ὕπαρχος καὶ οἱ λοιποὶ τῶν φίλων.

Τοῦ αὐτοῦ.

ΜΕτὰ τὴν τοῦ διοτυχοῦς πατριαρχείου τραγωδίαν, καὶ τὴν τοῦ ναοῦ ἐκείνου (οἴμοι τῷ ἀθλίῳ) διαπόρθησιν ἢ τὴν τῶν ἱερῶν καὶ ἁγίων εἰκόνων, καὶ αὖθις, οἴ μοι ἔξωσίν τε καὶ ἔκβλησιν, ἣν ἀδακρυτὶ οὐ διῆλθον, πρὸς δὲ καὶ τὴν τοῦ γένους ἡμῶν κοινὴν ὑπερφρόνησιν, ἰδιαίτατα δὲ τὴν τῶν φίλων ξυμφορὰν, καὶ ταῦτα τῆς σῆς

σῆς μεγαλοφυΐας, ἣν κοινὴν νὴ τὴν ἀλήθειαν ἥγημαι ἢ ἡγοῦμαι, τὰ κατ' ἐμοῦ ἡ καλήσου καὶ εὔρυθμος περιεῖχεν ἐπιστολή; ὧν τὰ μὲν ὁ ἐπὶ κακίας διαβόητος καὶ ὁμώνυμος σεραφὶμ, τὰ δὲ ὁ νόθος καὶ τὴν φύσιν καὶ τὴν κλῆσιν δουκαπάρης, ὁ νέος οὐρσῖνος παραλόγως ἅμα καὶ φθονερῶς ἐξέμεσαν, τῇ μὲν μισάνθρωπον τῇ δὲ κενόδοξον καὶ σοβαρὸν ἀποκαλοῦντες. καὶ πρὸς ἐξουσίαν τὸ πρῶτόν φημι, ὅτι τὸ μισεῖν τοὺς ἀνθρώπους διχῶς νοεῖται, ἢ κατὰ τὴν φύσιν αὐτοῦ, ἢ κατὰ τὰς πράξεις τὰς περὶ αὐτὴν τὴν φύσιν; ὥστε κατὰ μὲν τὸ ἂν τῶν ἀδυνάτων ἐστὶ, μισεῖν μὲν τὴν φύσιν, ἐξ ἧς αὐτὸς ὢν τυγχάνω. θηριῶδες γάρ. κατὰ τὸ δεύτερον, ἔπελθε ἔμπροσθεν ἐν τούτῳ τὸ σήμερον, τὸ ἐλέγχειν με καὶ ἐλευθεροστομεῖν, τοῦτό μοι προσετέθηκεν τοὔνομα, τῆς ἡμῶν πόῤῥω ξὺν θεῷ ὄντα γνώμῃ τε καὶ θελήσει. δοκεῖ δέ σοι θέμις πρὸς θεοῦ σεραφὶμ ἐᾶν καλλιστίλβοντα, περὶ ἡμῶν δὲ ξυστίδα τῶν λεπτοτάτων; οὐκ ὀφθαλμὸν, οὐ φρόνημα, οὔτ' ἴχνος ὅλως φέροντι μοναχῶν, ἀλλὰ λόγῳ μὲν μοναχικὸν ἐπαγγελλόμενον ἔχειν βίον, ἔργῳ δὲ ἅπασαν κακίας ἰδέαν μετερχόμενον, ἀνὰ τὴν τῶν ἐνετῶν ἀναιδῶς οὑτωσὶ περιόντα. καὶ ταῦτα ἐνταῦθα ἔνθα σκηπτοῦχοι βασιλεῖς, ἐπεστρέφοντο δὲ λαοὶ, ἥν τε ἔθνεα εἶσι μαλιστάω ἀδινάων. λείπει. ὧν χαίρειν ὁ μὲν τὴν ἐπὶ τὰς κυκλάδας, ὁ δὲ τὴν ἐς κύπρον ἐνεχειρίσθη ὑπὸ τοῦ δαιμονῶντος νικηφόρου. πρᾶγμα μὲν τῷ ὄντι αὐτῷ ἀνῆκον ποιήσας, μεγάλην δὲ ζημί-

αν καὶ σκάνδαλον καὶ ἀτιμίαν, ἐπὶ τῷ δυστυχεῖ πάντων προσεπίφερε γένει. ἀλλὰ τίς ἂν δύνατ' ἀκούειν, ἢ φέρειν γενναίως, ὅσα τε καὶ ὁποῖα οἱ τῶν κυπρίων τὰ πρωτεῖα ἐνταυθὶ φέροντες, καὶ οἱ ὡς ἡμᾶς ἐκεῖθεν ἀεὶ καταίροντες, ἄθλα τε καὶ ἀγῶνας, ὡς ὁσημέραι τοῖς ἐκεῖ ἐπιφέρουσιν, ὅτε ῥηθεὶς οὐρσῖνος καὶ συνεκείνῳ λαυρέντιος ὁ φήμης ὁ ἀνὰ πᾶσαν τὴν ἐπέκεινα ἀγαδείρων διελθὼν, καὶ κρητῶν, καὶ τὴν τῶν ἰβίρων, υἱὸν τῆς θεοδώρας ὁ παρὰ τὸν τῆς φύσεως νόμον καὶ τὸ δίκαιον, πόρους ἡδονῆς ἐκ παντὸς πειρώμενος εὑρίσκειν, ὁ σφραγίδας σιδηρέας τῶν ἁπάντων ἔχων παξιαρχῶν καὶ γράμματα τούτων ἀνὰ χεῖρας φέρων, τὴν δύσιν ἅπασαν πειρῶν σωροὺς χρημάτων συνάξας κακῶς ὁ κακὸς ταῦτα δαπάνησε. μάρτυς τούτων φλωρεντία, καὶ παρθένιός τις ἱερομόναχος ὁ ἐκεῖ ἐφημερεύων. μάρτυς τούτων ὁ καλὸς κἀγαθὸς οὐρσῖνος, ὃς παρὼν ἦν ἡνίκα τὰς σφραγίδας καὶ τὰ γράμματα ἐν τοῖς ἐκείνου ηὕραμεν κιβωτίοις. καὶ ἂν μὴ προσεχῶς ἐπὶ τὴν τοῦ γένους εἶχόν τι μὲν, τοῖς ἐν τῇ ξηρῇ συγκατεψηφισάμην τὸν ἀλιτήριον, ἀλλ' ὁμόξοπος αὐτῷ νικηφόρος, ἀρχιεπίσκοπον κύπρου χειροτονίσας, τοῖς ἀθλίοις ἐκείνοις ὡς ἄλλην ἀκρίδα, ἢ χάλαζαν, ἢ βέλτιον φάναι λοιμοῦ ἀνάλωσιν βαρυτέραν ἐξέπεμψεν. ἆρά γε δοκεῖ σοι θεῖά μοι κεφαλὴ πρὸς ἀνδρὸς ἐλευθέρως τ' ἀληθῆ λέγειν ἐθέλοντος, παρὰ κανόνας τοῦτο ποιῶν; ἀλλὰ τοῦ μὲν φημὶ τοῦ ἐκ κυδωνίας ἀγροίκου ταῦτα.

τα. τὰ δὲ περὶ τὸν δυκατάειν τίς ἂν ἐξαρκέσειεν χρο..διεξειπεῖν ὅς πάντων μὲν κρετεῖν ἐθέλει, πάντων δὲ ἀνάσσειν...... ἐρσῖνον καβαλιέρην ἱππότην, πρωτοψάλτην πατριαρχικὸν ἀποκαλεῖν ἀέκοντα ἑκόντι ἐπαναγκάζων. τίς γοῦν πρὸς θεοῦ προστατεύων λαοῦ ταῦθ' ὁρᾷν τὰ καθάρματα καὶ ἀκούειν ἀνέχεσθαι δύναται.

Τοῦ αὐτοῦ τῷ παναγιωτάτῳ ἡμῶν αὐθέντῃ καὶ δεσπότῃ τῷ οἰκουμενικῷ πατριάρχῃ. σχόλιον. οὕτω γράφουσι καὶ εἰς τὴν ἐπιγραφήν.

ΤΗν μὲν μεστὴν φθόνου, καὶ παντὸς πάθους ἐπνέουσαν καθ' ἡμῶν πεμφθεῖσαν ἔναγχος ψευδογραφὴν, ἤδησοι πέμπομεν, παναγιώτατε δέσποτα. ἐφ' ἣν οἱ τὰ πρῶτα δυσμενῶς πρὸς ἡμᾶς ἔχοντες, καὶ εἰς ἔτι τὸν τῆς κακίας σπινθῆρα ὑπέχοντες, ἔργον ἀνόσιον καὶ παράνομον ποιήσαντες, πατριαρχικὸν προσεπέθηκαν ὄνομα νομίσαντες δῆθεν οἱ ἀσελγεῖς τε καὶ μισητέοι, τοὺς τῶν ὧδε κρατοῦντας ῥαδίως φαινακίσαι, ὥς τε ἀναμφιβόλως πατριαρχικὸν οὖσαν ταύτην θαρρεῖν, ἡμῖν δ' εὐθύνας τῶν ἀνηκέστων, καὶ τιμὰς τῶν ἀφορητῶν προσενεγκεῖν. ἀλλ' οὐ κατὰ σκοπὸν γέγονε ταυτὶ τοῖς παμμιάροις, οὔθ' ὡς ὀνειροπόλουν οἱ δυσγενεῖς. εἰς πῦρ γὰρ ἔδοξαν ξαίνειν, καὶ πάντως γοῦν γὰρ τουφῖσιν κατὰ τὴν παροιμίαν. οἱ γὰρ πεποιθότες ἐπὶ ἂν ὡς ὄρος σιών. τὰς δ' ὑπὸ κόρον ὕ-

 βρεις

βρεις, καὶ τὰς ὑπὲρ τὸ μέτρον λοιδορίας, ἃς κατὰ τῆς ἐμῆς κεφαλῆς σκαιῶς πάνυ καὶ δυσσεβῶς οἱ ἐπὶ κακίαν διαβόητοι, μελαγχολοῦντες ἐξέμεσαν, οὐ μετρίως ἔφερον, δέσποτα, οὔτ᾽ ἄν ποτε φέρειν δύναμαι, μὴ τὴν ὀργὴν κατ᾽ ἐκείνων κινεῖν, μέχρις ἂν τὴν κατ᾽ αὐτῶν θεάσομαι κατὰ κανόνας καὶ οὐ πρὸς χάριν ἐνδιδοῦσαν, ὑπὸ τῆς σῆς παναγιότητος θείαν ψῆφον ἐξενεχθεῖσαν. εἰ δὲ καί τις τῶν σοφῶν οὐδὲν ἥδιόν φησιν, οὔτε μουσικώτερον, ἢ δύνασθαι τὸν λοιδορούμενον φέρειν, ἀλλ᾽ αὗται ἱκαναί εἰσιν αὐτῆς καρδίας μέσης καθάψασθαι, καὶ τὴν τῆς πραότητος ἀρετὴν, περὶ ὀργὰς καὶ θυμὸν διεγεῖραι. ἀλλὰ τῶν μὲν τούτων ἅλις. ἐμὲ δὲ τὴν καρδίαν εὖ ἴσθι, παναγιώτατε δέσποτα, σφόδρα δηχθῆναι, ὁποίαν ἤκουσαίμοι τὰ τῆς γραφῆς ἐκείνης παντὰ ῥωμαισὶ μετοχετευθῆναι, καὶ πρὶν ἢ τὴν ἑλληνικὴν μετακομίσασθαι. πεπόμφασι γάρ μοι ταύτην οἱ τῆς ὧδε γαληνοτάτης ἀρχῆς καλούμενοι ζάβιοι, οὐ μόνον δευρὶ, ἀλλὰ καὶ μέχρι ῥώμης αὐτῆς διασπαρθῆναι, κἀμὲ ἀτόπων ἔργων πληρωτὴν διατερατολογηθῆναι. πρὸς δὲ κατὰ τοῦ διδασκάλου καὶ δεσπότου μου, καὶ τῶν περὶ αὐτὸν ἐκλαμπροτάτων κληρικῶν, χωρῆσαί με διακοδωνηθῆναι, τὸν μηδὲν ἄξιον στίχος κατὰ τῆς ἱερᾶς καὶ ἀξιαγάστου εἰπόντα ποτὲ κεφαλῆς ἢ τῶν ὑπ᾽ αὐτοῦ θεσπεσίων ἐκείνων ἀνδρῶν, μᾶλλον δὲ θαυμάζοντα καὶ διὰ τιμῆς ἄγοντα, καὶ μετ᾽ εὐφημίας σὺν τῷ παντιμίῳ αὐτῆς ὀνόματι κἀκείνους διηνεκῶς παραπέμποντα. τοι γα-

οῦν

οὖν σπλαγχνίσθητι, δέσποτα, καὶ τὸν σωρὸν τῶ ἐν τῇ γραφῇ ἐκείνῃ ψεύδους, τὸν κατ' ἐμοῦ ἀδίκως ὁρμήσαντα τῇ τῆς ἀληθείας ἰσχύϊ διασκέδασον, καὶ τὸ ἐπέκεινα τῆς ἀληθείας καθ' ἡμῶν ἁπάντων ἀναφυεῖσαν μέμψιν ἐξάλειψον. ᾄδεται γὰρ ὑπὸ τῶν ὧδε ὡς οἱ τῆς ἀνατολικῆς ἐκκλησίας διοικηταὶ, πρὸς τοῖς ἄλλοις χρηστοῖς, καὶ τὸ πρεῖν τὰς ἐξομολογήσεις συναπόλεσαν. τοίνυν κυβέρνησον τὰ πάντα, ὦ τῆς ἐκκλησίας φωστὴρ, καὶ τὴν ἀλήθειαν τὰ μέγιστα ὑπερασπίζων, καὶ ἀκίβδηλον ταύτην διατηρῶν. καὶ τοῖς μὲν ἐνταυθὶ ὄντω μὲν ἡγεμόσιν ἰταλοῖς, οὕτω δὲ τοῖς ἡμετέροις γραικοῖς νόθον τὴν γραφὴν, διὰ προσκυνητοῦ σου γράμματος διαφάνωσον. καὶ πλάσμα ταύτην ἀνδρῶν ἀναιδῶν ὧν ἡ βδελυρὰ καὶ ἀνόσιος φύσις τῷ αὐτῷ ἐπιθυμεῖ, τοῖς ἑκασταχοῦ ἐμφάνησον. τοὺς δὲ νοθεύσαντας, ἢ πλάσαντας, τῆς ἐκκλησίας ὡς παρανόμους καὶ ἀθέσμων ἐργάτας ἐνεργειῶν ἀποδείωξον. πολλοὺς γὰρ τῷ ὄντι, δέσποτα παναγιώτατε, ἀπαλλάξειας πραγμάτων ψυχοφθόρων τοῦτο ποιῶν. καὶ τίμιον καὶ εὐπρεπὲς ἐμοί τε ἰδίᾳ, καὶ παντὶ τῷ χειρονύμῳ λαῷ χρησιμώτατον ἔσαι. ἔτι δὲ καὶ πολὺ βελτίω εἰς τὸ ἑξῆς τὰ τῆς ἐκκλησίας ἐγκαταστήσειας, καὶ ἡμᾶς τοὺς σοὺς δούλους τοὺς καθάπερ κύκλος εἰς κέντρον ἀεὶ ἀφορῶντας τε, δεινῶν τε καὶ ἀπροσδοκήτων ἀπολυτρώσειας παθῶν, καὶ εἰρηνικῶς διάγειν τὸ λοιπὸν διανύσειας τοῦ βίου, οὐ γὰρ περὶ

χαλκȢλέβητος ἤδη ὁ ἀγὼν, δέσποτε, οὐδ᾽ ὁ κίνδυνος τῶν ῥαδίων ἀλλ᾽ ὑπὲρ τῆς ζωῆς καὶ αὐτῆς τῆς ψυχῆς. ἧς τὸ πᾶν τῇ ὑμετέρᾳ σοι πνευματικῇ ἀνατίθημι ἐκβλύσει, ἀφ᾽ ἧς ὕδωρ πηγάζει, καὶ πρὸς ὁσίαν τοὺς ἀῤῥυομένους μετοχετεύει, καὶ φθόνȢ παντὸς καὶ τῆς δεινῆς εἴδος σβεννύει τὸν καύσωνα. ἔῤῥωσο παναγιώτατε πατὴρ καὶ δέσποτα. αφπγ᾽ ἰανȢαρίȢ κβ᾽ ἐξ ἐνετιῶν.

Τῆς παναγιότητός σȢ δȢ̃λος

Γαβριὴλ ὁ φιλαδελφείας.

(1) Haec Epiſtola ſcripta eſt *Ieremiae II.* Patriarchae Conſtantinopolitano, eiuſque mentio facta eſt in obſervationibus ad Epiſtolas *Maximi Margunii pag.* 301.

Τῷ σοφωτάτῳ καὶ λογιωτάτῳ, ἐν ἀρχιερεῦσιν ἐξοχωτάτῳ καὶ πανιερωτάτῳ κυρίῳ γαβριήλῳ τῷ τῆς φιλαδελφείας ἀρχιεπισκόπῳ, νικόλαος ἐλάχιστος ἱερεὺς ὁ ῥόδιος εὖ πράττειν.

ΕΓὼ μὲν ὡς ἀεὶ καὶ γαβριὴλ ἐπαινῶ, καὶ πρώτιστον ἀρχιερέων ἐκκηρύττω, καὶ τὸ περὶ αὐτȢ̃ λέγειν, ἢ γράφειν ἥδυμοι πέφυκεν εἶναι, διὸ καὶ τὸ μὴ ξυνεῖναι τούτῳ διαπαντὸς

τῶν λυπηροτάτων τίθεμαι. ἀλλὰ τί ἂν καὶ πάθοιμι, πολλὰ κακὰ γένοιτο τοῖς τῶν ἀνθρώπων πονηροῖς, καὶ χαιρεκάκοις, τοῖς κακῶς εἰδόσι λέγειν ἐπεὶ καλῶς οὐκ ἔμαθον. καὶ γὰρ διὰ γραμμάτων ὡς ἔοικα τοῦ ἐν ἱερομονάχοις ὁσιωτάτου κυρίου λαυρεντίου τοῦ μαρίνου ἔγνων, ὥς τινες παράτινων ἐκβιβασθέντες ἴσως τῶν τῆς σφάκης ἀπογόνων κακῶς σοι καταγγεῖλανμου, ἐφ᾽ ᾧτε κωλύσωσιν ἴσως ἢ καὶ τέλεον ἀπαλείψωσι τὴν πρὸς ἡμᾶς σου χετικὴν εὔνοιαν, καὐτοῖς δὲ πάλιν τὰ ὅμοια κατεπιφερόντων, τὸ κατ᾽ ἐμοῦ ὃν ὑπὲρ ἐμοῦ ἐνόμιζον εἶναι. ἀλλὰ πρὸς τοῦ θεοῦ, σοφώτατε δέσποτα, τὰ κακῶς καὶ οὐκ ἀληθῶς εἰρημένα καὐτὸς ὡς τάχιστα ἔκλειψον, καὶ τοὺς παρὰ σοὶ προαιρουμένους εἶναι, καὐτὸς τὸ σύγγνωμον δεχόμενος ἔχειν ἐθέλησον. καὶ γὰρ εἰ δυνατὸν μή τινας σκανδαλισθῆναι παρὰ σοὶ χρονοτριβῆσαι διώγνωμεν. διχῆ καὶ γὰρ τὴν καθ᾽ ἡμᾶς ἐκ τῆς πατρίδος ἔξοδον διηρήσαμεν, ἢ ἐς πόλιν κωνσταντίνου, ἢ εἰς τὴν τῶν ἐνετιῶν. περὶ μὲν οὖν τῶν ἐν ἐκείνῃ κλιμάτων οὐδεμίαν φροντίδα καταβαλλόμεθα, καίπερ μὲν ὑμετέρων ἐτύχομεν πολλάκις ἐς τιμὴν προσκαλούντων. φοβεῖται καὶ γὰρ ἡμᾶς τὸ τῆς πανώλης δέος, ὅπερ τὰ πλεῖστα τοὺς ἐκεῖθεν πολεμοῦντας θανατοῖ. περὶ δὲ τῶν πρὸς ἡμᾶς ἀσπασίως ἂν καὶ ἐνδεξάμεθα, σπουδῆς τοῦ πρὸς πατρὸς μοι χάριν ἐγκαλεσθέντος ἀδελφοῦ. τοῦτο δὲ πολλάκις εἰς νοῦν θέμενοι, καὶ ἵνα μή τις ἀγνοῶν τὴν ἡμετέραν πρὸς ὑμᾶς ἄφιξιν, ἑτέρων μεν

μὲν στέρησιν, ἑαυτῶν δὲ κέρδη ταύτην ὀνομάσει, οὐχ ἡ τῆς γνώμης θέλησις ἐς τοὔργον αὐτὸ κατεπείγετο, ἀλλ' εἰ σοὶ ἡ πανιερώτης τὸν ταύτῃ ὑπακούοντα, καὶ τὸν ἐς πλεῖσον ἀγαγεῖν ἐλπίζοντα τὴν περίφημον αὐτῆς ἀρετὴν, προαιρεῖται παρ' αὐτῇ ἔχειν, δῆλα τὰ τῆς προαιρέσεως ἐγκαταςησάτω, ἢ καὶ τὸ ἔργον ἐκ πάντων ἀκολουθήσει. οὐδεὶς γάρ ἐστιν ὁ ἀντιποιούμενος αὐτῇ τοῖς καλοῖς εἰ οὖν μικροῖς ἂν γράμμασιν ἐλθὲ λέγουσιν ἐκπέμψοι, τάχιστα ὃν εἶχεν υἱὸν πρότερον ὑπήκοον, πάλιν ἐν ταύτᾳ προθυμότατον ὄψεται. ἔῤῥωσο, σὺν πάσῃ ἐν θεῷ εὐτυχίᾳ, πανιερώτατε δέσποτα, πρὸς σύστασιν τῆς λογικῆς ποίμνης τοῦ κυρίου. κατὰ τὸ αφπδ' ἔτος ἀπὸ τῆς ἐνσάρκου οἰκονομίας, μαιμακτηριῶνος γ ἱσταμένου.

Ε Υ'λαβέστατε πρωτοπαπᾶ .... υἱὲ ἀγαπητὲ τῆς ἡμῶν ταπεινότητος, χάρις εἴη σοι καὶ εἰρήνη καὶ ἔλεος ἀπὸ θεοῦ παντοκράτορος. ἕκαστον ὀφφίκιον ἔχοντα τὸ οἰονοῦν δεῖ τοῦτον σύμφωνα τῷ ὀφφικίῳ ἑαυτοῦ πράττειν ὡς ἂν εἴη δικαίως ἔχον τὸ ὀφφίκιον, καὶ σὲ πρωτοπαπᾶν ὄντα ταῖς τῷ πρωτοπαπᾷ καθήκουσι πράξεσι δεῖ ἐφαρμόζειν σεαυτὸν, ὅπως δοξάζηται μὲν ὁ θεὸς, παρ' οὗ πᾶσα δόσις ἀγαθὴ κατερχομένη, τοῖς οἷς ἐδόθη ἢ δίδοται παρέχεται. ὠφελῆται δὲ ὁ βλέπων λαὸς τὰ καλὰ ἡμῶν ἔργα, καὶ τρίτον, καὶ σὺ αὐτὸς μάλιστα.

οὐ

οὐ γὰρ περὶ ἑαυτοῦ μόνον ἕκαστος μεριμνᾷν ὀφείλει, ἀλλὰ καὶ τῆς ἄλλων σωτηρίας κήδεσθαι τὰ εἰς τοῦ ἑαυτοῦ δύναμιν φθάνοντα. ἔσο οὖν τύπος τῶν λοιπῶν ἱερέων καὶ τοῦ λαοῦ, κατὰ καὶ ὑπερέχεις αὐτῶν τῷ ἀξιώματι. οὕτω δὲ ποιῶν, ἕξεις μὲν παρ' ἡμῶν τὴν πρέπουσαν εὐχαριστίαν, παρὰ δὲ θεοῦ τὸν μισθὸν, οὗ ἡ χάρις μετὰ σοῦ.

(1) Haec Epiſtola ſcripta eſt Protopapae Corcyrenſi, qui Praeſul eſt Graecorum in ea Inſula degentium, ab Archiepiſcopo Philadelphiae, ni fallor, qui Graecis Venetiarum, & fortè etiam Corcyrae praeeſt.

Τῷ πανιερωτάτῳ καὶ σοφωτάτῳ μοι αὐθέντῃ καὶ δεσπότῃ κυρίῳ γαβριὴλῳ τῷ φιλαδελφείας, σὺν τοῖς περὶ αὐτὸν, μητροφάνης ὁ τῶν ἱερομονάχων οὐτιδανὸς καὶ ἐλάχιστος, εὐπράττειν,

ΕΙ' καὶ προὔξειτες διὰ τάχους καὶ ὡς ἔπος εἰπεῖν ἐξαπίνης ἀπεσαλκάσοι τὸ οἰκεῖον διασύλλαβον ἐπιστολείδιον. μεθ' οὗ χάριν μικρᾶς ἐνθυμήσεως καὶ δέκα δέσμας ἀσπαράγγων τῇ τῆς ὥρας βραχύτητι πεπομφὼς ἔφθην· ἀλλ' οὖν καὶ αὖθις τῇ σῇ ἄκρα πεποιθὼς εὐνοικῇ καλοκαγαθίᾳ καὶ διαθέσει οὐ κατώκνησα κατὰ τὸ ἐνόν μοι σοι γράψαι, καὶ δηλῶσαι τὰ κατ' ἐμὲ

μὲ

μὲν στέρησιν, ἑαυτῶν δὲ κέρδη ταύτην ὀνομάσει, οὐχ ἡ τῆς γνώμης θέλησις ἐς τοὔργον αὐτὸ κατεπείγετο, ἀλλ' εἰ σὺ ἡ πανιερώτης τὸν ταύτῃ ὑπακούοντα, καὶ τὸν ἐς πλεῖσον ἀγαγεῖν ἐλπίζοντα τὴν περίφημον αὐτῆς ἀρετὴν, προαιρεῖται παρ' αὐτῇ ἔχειν, δῆλα τὰ τῆς προαιρέσεως ἐγκαταςησάτω, ᾗ καὶ τὸ ἔργον ἐκ πάντων ἀκολουθήσει. οὐδεὶς γάρ ἐστιν ὁ ἀντιποιέμενος αὐτῇ τοῖς καλοῖς. εἰ οὖν μικροῖς ἂν γράμμασιν ἐλθὲ λέγουσιν ἐκπέμψοι, τάχιστα ὃν εἶχεν υἱὸν πρότερον ὑπήκοον, πάλιν ἐν ταὐτᾷ προθυμότατον ὄψεται. ἔρρωσο, σὺν πάσῃ ἐν θεῷ εὐτυχίᾳ, πανιερώτατε δέσποτα, πρὸς σύστασιν τῆς λογικῆς ποίμνης τοῦ κυρίου. κῃ. τὸ αφπδ' ἔτος ἀπὸ τῆς ἐνσάρκου οἰκονομίας, μαιμακτηριῶνος γ ἱσταμένου.

Εὐλαβέστατε πρωτοπαπᾶ .... υἱὲ ἀγαπητὲ τῆς ἡμῶν ταπεινότητος, χάρις εἴη σοι καὶ εἰρήνη καὶ ἔλεος ἀπὸ θεοῦ παντοκράτορος. ἕκαστον ὀφφίκιον ἔχοντα τὸ οἱονοῦν δεῖ τοῦτον σύμφωνα τῷ ὀφφικίῳ ἑαυτοῦ πράττειν ὡς ἂν εἴη δικαίως ἔχον τὸ ὀφφίκιον, καὶ σὲ πρωτοπαπᾶν ὄντα ταῖς τῷ πρωτοπαπᾷ καθήκουσι πράξεσι δεῖ ἐφαρμόζειν σεαυτὸν, ὅπως δοξάζηται μὲν ὁ θεὸς, παρ' οὗ πᾶσα δόσις ἀγαθὴ κατερχομένη, τοῖς οἷς ἐδόθη ἢ δίδοται παρέχεται. ὠφελῆται δὲ ὁ βλέπων λαὸς τὰ καλὰ ἡμῶν ἔργα, καὶ τρίτον, καὶ σὺ αὐτὸς μάλιστα.

οὐ

ὐ γὰρ περὶ ἑαυτῦ μόνον ἕκαςος μεριμνᾷν ὀφείλει, ἀλλὰ καὶ τῆς ἄλλων σωτηρίας κήδεθαι τὰ εἰς τῦ ἑαυτῦ δύναμιν φθάνοντα. ἔσο ὖν τύπος τῶν λοιπῶν ἱερέων καὶ τῦ λαῦ, κατ᾽ ὁ ὑπερέχεις αὐτῶν τῷ ἀξιώματι. ὕτω δὲ ποιῶν, ἕξεις μὲν παρ᾽ ἡμῶν τὴν πρέπυσαν εὐχαριςίαν, παρὰ δὲ Θεοῦ τὸν μιθὸν, ὖ ἡ χάρις μετὰ σοῦ.

(1) Haec Epiſtola ſcripta eſt Protopapae Corcyrenſi, qui Praeſul eſt Graecorum in ea Inſula degentium, ab Archiepiſcopo Philadelphiae, ni fallor, qui Graecis Venetiarum, & fortè etiam Corcyrae praeeſt.

Τῷ πανιερωτάτῳ κ᾽ σοφωτάτῳ μοι αὐθέντῃ καὶ δεσπότῃ κυρίῳ γαβριὴλῳ τῷ φιλαδελφείας, σὺν τοῖς περὶ αὐτὸν, μητροφάνης ὁ τῶν ἱερομονάχων ουτίδανος κ᾽ ἐλάχιςος, εὐπράττειν,

ΕΙ᾽ καὶ πρόξειτες διὰ τάχυς καὶ ὡς ἔπος εἰπεῖν ἐξαπίνης ἀπέςαλκάσοι τὸ οἰκεῖον διασύλλαβον ἐπιςολείδιον. μεθ᾽ ὖ χάριν μικρᾶς ἐνθυμήσεως καὶ δέκα δέσμας ἀσπαράγγων τῇ τῆς ὥρας βραχύτητι πεπομφὼς ἔφθην· ἀλλ᾽ ὖν καὶ αὖθις τῇ σῇ ἄκρα πεποιθὼς εὐνοικῇ καλοκαγαθίᾳ κ᾽ διαθέσει οὐ κατώκνησα κατὰ τὸ ἐνόν μοι σοι γράψαι, καὶ δηλῶσαι τὰ κατ᾽ ἐμὲ

μὲ οἷα καθέστηκε. καὶ πρῶτον μὲν ἴσθι, ἐλλογιμώτατε δέσποτα, ὅτι εἰ προειδὼς ἦν τὰ τούτου μῶρα, φημὶ δὲ καὶ τὸ σφῶν ἄσυστον καὶ φιλόνικον καὶ ἐριστικὸν καὶ ἀσύμφωνον εἰς ὃ ὁσημέραι διατελοῦντες τυγχάνουσιν, οὐκ ἂν ἐνταυθοῖ ἀφικόμην. νῦν οὖν ἐπεὶ ταῦθ' οὕτως γέγονεν, ἀνάγκη με ταῦτ' ὑπενεγκεῖν, εἰ καὶ οὐκ ἀνεκτά. ἔγω γε δὲ μετὰ τὴν παρέλευσιν τῆς τοῦ κυρίου ἡμῶν ἀναστάσεως, εἰ βουλητὸν ἦν τῷ θεῷ, βούλομαι τῶν ὧδε ἀπάραι καὶ τὴν αὐτόθι παραγενέσθαι, καὶ τῆς σῆς ποθεινῆς καὶ ἐπεράστου θέας ἀπαπολαῦσαι. θεῷ δ' εὔχομαι μόνῳ. οὐ μετὰ πολλὰς ἡμέρας τὴν σὴν τιμίαν εἴην δεδαγμένος ἐπιστολήν, δι' ἧς ἔγνων ὅτι οὔπω ἀπειληφότες ἐστὲ τὰ ζητούμενα. κἀκ τούτου τεκμαίρομαι ὅτι καὶ αὐτὸς ἐγώ γε τὴν ἄλλως προσμένω τοῖς ὧδε, ἄχρι τοῦδε, τῶν πραγμάτων μηκέτι ἀποληψομένων τὰ οἰκεῖα ἐξ ὧν ἐξώθησαν καὶ οὐ μέλει μοι περὶ τούτων ναὶ μὴν μὰ τοὺς ὑπὲρ ἀρετῆς ἀγῶνας, τῆς σῆς μόνον λογιότητος ἐν εὐπραγίᾳ καὶ ὑγείᾳ τὸν βίον διατελούσης. καὶ οὐχ ἥδιόν μοι καθέστηκεν ὡς ἡ τῶν δεσποτῶν μου καὶ φίλων διαγωγή τε καὶ πολιτεία ἐπὶ καλοῦ ἀχειγήρως καὶ πρεσβείου τοῖς πᾶσι διαφημίζεται. εἶτα ὁ ἐν μοναχοῖς κῦρ ἀρσένιος ὁ ποτὲ καὶ πέρισυ τῶν λατινιστὶ μυστηρίων μεταλαβών, προσῆλθεν αἰτιῶν ἐξομολογήσεσθαι καὶ μεταλαβεῖν τῶν μυστηρίων τῶν τῆς καθ' ἡμᾶς ἐκκλησίας, ἐγὼ δὲ οὐ κατένευσα τούτῳ μὴ πρότερον τοῦτο ἀνενέγκας σοὶ τῷ κοινῷ ἡμῶν πατρὶ καὶ δεσπότῃ, ὃς δέ μοι προσέ-

σέ-

σέθετο ὅτι ποτὲ τούτων ἐν ῥώμῃ μεταλαβόντι συνεχώρησας ἐπανήκοντι αὐτῷ ῥώμηθεν. καὶ οὐκ ἀπαξιῶν τοῦτον τῆς θείας δωρεᾶς ταυτησί. μὴ γένοιτο. ἀλλὰ δεδιὼς τὴν τῶν λατίνων διαβολὴν καὶ συκοφαντίαν, καὶ τὸ τοῦ ἡμετέρου σχήματος ἐξωμοτικὸν ὁ αὐτὸς πέπραχεν ἑωρακὼς καὶ κείνας μὴ δεῖν ἐᾶσαι τοῦτο ἀνεκφώνητον τῇ σῇ σεμνοπρεπείᾳ, οὐχ ὑπῆξα τῷ τούτου αἰτήματι, ἐς τ' ἂν τὴν ἀπόκρισίν μοι ὅτι τάχιστα περὶ τούτου παρέξοις. ἀξιῶ κἀπὶ τούτοις εἰ ἡσυχίαν διάγεις γράψον μοι καὶ περὶ τοῦ ζωγράφου κυρίου γαβριήλου, οὗ πρότερον ἕνεκα ἔφθην σοι γράψας, πῶς γλίχεται τὸν μοναστὴν ὑπεισελθεῖν βίον. μετὰ μέν τοι τῆς τοιασοῦν καταινέσεώς τε καὶ ὑποσχέσεως, φημὶ δὲ τῆς συμπλασάσης μοι εἰς τὸ ἁγιώνυμον ὄρος τοῦ ἄθω ἔτι δὲ περὶ τοῦ ἰωάννου μανδομενοῦ τοῦ συμπλεύσαντός μοι ἐνταῦθα, ἀντιβολῶ γράψειας τί γέγονε ἡ κατ' αὐτοῦ γραφὴ, εἰ ἐξαλείφθη τῆς δίκης καὶ τοῦ γραμματίου ἢ οὔ, πρὸς δὲ, ταῦτα ἔσω σοι ἐν μυσικῷ τρόπῳ καὶ ἀπορρήτῳ χαιρῶν με δέσποτα. καὶ ταῦτα μὲν οὕτως, σὺ δέ μοι ἐρασμία καὶ θεοφίλη ψυχὴ ἐῤῥωμένη διαβιώης ἐς ἐπιμήκιστον χρόνου τῶν σοι καταθυμίων ἐπαπολαύουσα.

Ἐκ πόλας, θαργηλιῶνος ὀγδόῃ ἱσαμένου.

Τῷ πανιερωτάτῳ καὶ σοφωτάτῳ μοι αὐθέντῃ καὶ δεσπότῃ κυρίῳ κυρίῳ γαβριήλῳ τῷ φιλαδελφείας, ἀβλαβῶς καὶ προσηνῶς δοθείη.

Ἐς ἐνετίας.

Ἐγὼ

Τοῦ φιλαδελφείας κυρίου γαβριὴλ.

Ἐγὼ μὲν ᾤμην σε, παναγιώτατε δέσποτα, καθ' ὑπερβολὴν ἀχθῆναι καὶ λυπηθῆναι, ἐφ' οἷς ἐννομιώτατα προπηλακιζόμενος ὑπὲρ τῆς ἐκκλησίας καὶ τῆς σῆς δόξης. ἔτι δ' ὅσην πρὸς σε εὔνοιαν ἔχων διατελῶ, τοσαύτην παρά σοι εὑρεῖν με βοήθειαν ἐν τῇ νῦν μου ἐλαττώσει, τὸ μὲν ὡς τὸ σὸν φέρω πρόσωπον, ἐφ' ᾧ οἵ τ' ἔπαινοι τῶν ἀγαθῶν, καὶ οἱ ψόγοι τῶν πονηρῶν διαβαίνουσί πως ἀνδρῶν. τὸ δὲ, ὡς καὶ αὐτὸς ἀρχιερατικὴν, εἰ καὶ ἀναξίως περιτίθεμαι ἀξίωσιν. ἐπεὶ δὲ ἤκουσαί μοι ὡς τοὺς δυσχερεῖς καθ' ἡμῶν λόγους προβαλλομένους, ἐφ' οἷς διαπεπραχασιν ἀνυπευθύνους εἴασας, κἂν τῇ ἀγορᾷ ἐλευθέρως περιέναι παρ' ἐδος, οὓς συνοδικῇ ἔδει ὑποβάλλειν καταρᾷ, τοῦτί γε οὐκ ἄκρας καρδίας ἔψαυσέ μου, καὶ εἰ μὲν ἰσότης εἰσὶν ἡ αὐτὴ ἐμοί τε κἀκείνοις, παναγιώτατε δέσποτα, εἰκότως γ' εὖ μάλα τὴν αὐτὴν ἀμφοτέροις εὔνοιαν ἔδει σε ἔχειν. εἰ δ' ἂν οὐδὲν ἴσον, ἄρχοντος γὰρ ἀρχομένου, καὶ τῶν ἐννόμως βιούντων, καὶ παρανόμως ἀνισότης δήπου καθέστηκεν, οὐ θέμις ἄρα τὸ τὴν αὐτὴν ἀμφοτέροις διάθεσιν ἔχειν, οὔτε μὲν γενέσθαι δ' αἴτιον, εἴ γε μοι ἐξῆν τοῦτο εἰπεῖν, τὸ τῶν ποιεῖν διαμαρτεῖν οἱ καθ' ἡμῶν ἐξεμέσαντες, λείπει.

(1) Haec Epistola scripta videtur *Ieremiae II.* Patri-

triarchae CP. vel anno MDLXXIX. quando primum de sede deiectus est; vel anno circiter MDLXXXIV., quando iterum e recepto throno deturbatus fuit.

Τοῦ αὐτοῦ φιλαδελφείας.

Τοῦ πρέσβεως τοῦ τῆς φραγγίας ἄρχοντος εἰς τὸν ἐνταυθὶ ναὸν εἰσελθόντος, παναγιώτατε δέσποτα, καὶ τὴν ἡμετέραν θείαν μυσταγωγίαν, καὶ τὰ περὶ αὐτὴν πάντα ὅπως τελεῖται ἀκριβῶς ἐθέλοντος ἰδεῖν, φιλοτίμως αὐτὸν προυπαντήσαντες, οἷα εἰκός γε προσεδέχθημεν. φιλικῶς δὲ μετὰ τὴν τελετὴν ὑπὲρ τῆς μητέρος ἡμῶν, τῆς μεγάλης φημὶ ἐκκλησίας λαλήσαντες, ταύτην αὐτῷ γνώριμον ἐποιησάμεν τε καὶ συνιστήσαμεν, δυναμένῳ ἡμῖν δοκοῦντι χεῖρα ταύτῃ ὀρέξαι, κυμαινομένῃ ὡς ἤδη τὰ πολλά, καὶ χειμαζομένῃ, καὶ αἰνότατα τῶν πώποτε πεπονθείᾳ. ὁ δὲ, πολλοὺς πόνους καὶ κινδύνους, εἴ γε δυνατὸν ἔφη, ὑπὲρ αὐτῆς ὑποστεῖναι, καὶ συνχάρεσθαι αὐτῆς, καὶ βοηθῆσαι αὐτῇ λόγῳ τε καὶ ἔργῳ ὡς οἷόν τε πρός τε πολλῶν καθυπέσχετο, καὶ γραμμάτιόν τι τῶν ἡμετέρων τῇ σῇ προσκομίσαι παναγιότητι προσεξετήσατο. μεσίτην ὅ γε μοι δοκεῖ, τοῦτο θέλων τῆς πρὸς αὐτὴν διαθέσεως. δεχθείη τοίνυν αὐτὸν ἀσμένως οἷα ποιμὴν ἄριστος, καὶ τὰ τῆς φρονήσεως βάθη ὡς ἄλλος οὐδεὶς ἔμφυτα ἔχων, καὶ φιλοφροσύνως

τως καθάπερ κοινὸς πατὴρ ἐνηγκαλήσοις, τῷ καιρῷ ἀκολουθῶν, ὥγε καὶ θεοὶ αὐτοὶ δουλεύειν ὡς ὁ λόγος, ἄντικρυς κατέμαθον.

(1) Haec quoque Epistola *Ieremiae II.* Patriarchae scripta videtur, circa eadem tempora, quibus superior.

Τοῦ αὐτοῦ.

ΚΑτασκοπὸν μοι ἔδοξε, θεία μοι κεφαλὴ συμεών, ὅπως τὰ ἡμῶν ἔχει τῷ ἤδη πρὸς ἡμᾶς ἀφικνουμένῳ πρέσβει δηλῶσαί σοι, καὶ λαβὴν τινα δοῦναι τῶν ὑμετέρων τὴν διοίκησιν ἁπάντων ἡμῖν γνωρίσῃς. προκαιροῦ γὰρ οὐδὲν ἐπ᾽ αὐτοῖς γνωστὸν ἡμῖν γέγονεν οὔτ᾽ εἴδησιν τινα τούτων ἔχοντες διατελοῦμεν, καὶ ταῦτα νῦν ταύτης εἰπέρποτε δεόμενοι καὶ ἐκτόπως ἀφικόμενοι. ἴσθιμε τοίνυν σοῦ ἔχοντα καὶ μικρόντι ἐπὶ τὴν φυσικὴν ἀσχολούμενον, καὶ τὴν τῶν λατίνων ἠρξάμενον γλῶτταν ἀσκεῖν, ὡς μᾶλλον τῶν ἁπάντων τοῦτόγε τοῖς ὀρθῶς φιλοσοφεῖν θέλουσι ξυμφέρον νομίσαι. διὰ θαύματος γὰρ ἔχων τὴν περὶ τὰς μεθόδους αὐτοὺς αὐτῶν τάξιν, καὶ τὴν τε τῶν ἀριστοτελικῶν ξυγγραμμάτων ἐπὶ τὸ κείμενον διαίρεσιν, ἀφ᾽ ὧν ῥαδίως, τοντε σκοπὸν, καὶ τὴν αἰτίαν τούτου, καὶ τὴν συνεχίαν δυναταίτις ἀμέσως διανυσεῖν, τὴν δὲ τοῦ βεσσαρίωνος βίβλον

βλον σὺν τῇ ἑτέρᾳ τῇ αὐγούστου, μετὰ τῆς πρὸς ὑμᾶς πλεύσαντες λήψειας ἀσμένως φίλων ἐκκεῖτε.

ΤΗ'ν πολὺ ἐξαίρουσαν ἡμᾶς, μᾶλλον δὲ σε τὸ τοῦ ἀρχιερέως θεῖον χρῆμα, ἀσμένως ἐκομισάμην ἐπιστολήν σου, θεῖά μοι κεφαλὴ ἱππολύτε ἐν ᾗ τὸ πρὸς τὴν σοφίαν αὐτὴν ξόφιμον, καὶ τὸ ἐν λόγοις γλαφυρὸν, σύντομόν τε καὶ δυνατὸν, καὶ τὸ τῆς ἁρμονίας ἔναυλον. ἅμα δὲ καὶ τὰ περὶ αὐτὴν ἄλλα ἥδυστα δὴ μάλα εἰδὼς, θαυμάζειν σε κατ᾽ ἀξίαν, καὶ ἱκανῶς ἐγκωμιάζειν πώποτε ἐμαυτὸν πολὺ τοῦ δέοντος, καὶ τοῦ ἀναγκαίου ἐκλείπειν προσεπέγνωμαι. μείζονος γὰρ κομιδῆς δεῖται δυνάμεως ἢ τῆς ἡμῶν, ὁ προαιρεθεὶς ἐπαινέσασε τὸν ἐπὶ σοφίαν διαβεβοημένον. τοίνυν προσδεχθείοις τὴν ἐξ ἡμῶν ταύτην προϊοῦσαν ῥανίδα, ὡς οἱ τῶν μεγίστων οἱ ποταμοὶ τὸ ἐπ᾽ αὐτοῖς ποσὸν τῶν σταγόνων, καὶ οἱ μεγάλοι θησαυροὶ τοὺς ὀβολοὺς, ὃν δέ μοι συνιστᾷς νικόλαον, οὐκ ἄν ποτε ἡμᾶς νόμιζε λήξειν, συνεπιλαβέσθαι αὐτῷ καὶ ἀντιποιήσαι. καὶ εἴ γε δυνατὸν καὶ τοῦ πόνου καὶ τῶν πραγμάτων αὐτοῦ μετέχειν ἡμᾶς, ἥκιστ᾽ ἂν διαλειψαίμεθα. ἔῤῥωσο, ἡμῖν συγγινώσκων τοῖς πατριαρχικοῖς ἔθεσι μὴ ἐπαίρειν προαιρουμένοις, λάκωνες γὰρ ἐσμέν.

Μοῦνος ἄρα ζάθεος σοφὸς ἔξοχα ἔμμεν ἁπάντων.

 Εὐ-

Ἔνθεα τῆς σοφίης ἠδὲ πειθοῖς θελξινόοιο.
Ῥυθμοὺς σοῖσιν ἐνὶ γράμμασι δ᾽ εὑρέμεναι
Καὶ ῥήτωρ δεινὸς πᾶσί τε ὀψιγόνοις.
Τὰ περὶ τὴν τεσσαρακοστὴν ἀσχολουμένοις καὶ ἐς τὴν φυσικὴν οὐράνιον ὅσον ὁσημέραι φροντίζουσι.

Τοῦ αὐτοῦ.

ΕΙ' καὶ μὴ τὰ ἀριθμῷ ἐπανακάμπτειν, ὁ φιλόσοφός φησι ἐλλογιμωτάτη μοι κεφαλὴ, ὅ, γε τοῖς πεπερασμένην νομίζουσι τὴν τοῦ θεοῦ δύναμιν εἶναι, οὐ τὴν τυχοῦσαν αὐτοῖς προξενεῖ ζημίαν, ὅτι γε ὅλως τὴν τῆς ἀναστάσεως ἀπαναίνονται ἐνέργειαν, ἀλλ' ἡμεῖς οἱ μὲν πέρας ταύτην ἔχειν σαφῶς ἐκκηρύττοντες καὶ τῷ τὰ ὅσα τὰ ξηρὰ καὶ ἀκίνητα, ἀπειροδυνάμῳ ἰσχύει πειθόμενοι, καὶ τὸν τοῖς φυσικοῖς ἐντρυφῶντα χαίρειν εἰπόντος, τὴν πρὸς τὸ εἶναι, μᾶλλον δὲ τὴν πρὸς τὸ οὐκ εἶναι προσδοκῶμεν ἐπαναλήψεσθαι κίνησιν, ἥν περ καὶ σὲ αὐτὸν ἀξιοῦμεν διὰ τοῦ παρόντος τὸν τὰ δεινὰ τῆς τύχης ἀπηντηκότα καὶ καθυπερβολὴν ἀνιαθέντα καὶ δειναῖς ἀλγήσεσι συγχεθέντα οἷόν τινα παραμυθείαν κεκτῆσθαι εἰς τὸ ἐπικουφίζειν τὰς ἐκ τῆς καρδίας συνεχεῖς ἀναφυομένας σοι ὀδύνας, καὶ τὰς ἀφορήτους λύπας, ἀλλ' ὁ δαίμων σοι τῇ τῆς φιλτάτης στέρησει προξένησοι, ἀλλὰ τῶν μὲν τούτων ἅλις, ἡμεῖς δὲ οἱ ἐπιμως τὰ τοῦ πλοῦ ἔχοντες, ἀμφοειδιόντι μέλιτος μεσὸν,

σὸν, καὶ τῶν μηδικῶν μήλων μικρόν τι μέρος, μνήμης ἕνεκα δεῖν ᾠήθημεν ἐπιστεῖλαί σοι· τῶν γὰρ ἐνταῦθα ἄλλων ἀγαθῶν οὐδὲν ἀπηλαύσαμεν, ἀλλὰ πανταλείῳ πιεζόμεθα τιμῇ.

Ἡμῶν μνημόνευσον τῶν τὰ σὰ διὰ τιμῆς καὶ θαύματος ἄγειν ἢ ἔχειν διηνεκῶς μὴ παυόμενος.

Τοῦ αὐτοῦ ἀνονύμως.

Τὴν ἔμπλεον σοφίας ἐπιστολήν σου, ἀσμένως ἐκομισάμην, ἀρχιερέων ἄριστε, ἐφ' ἣν νὴ αὐτὴν τὴν σοφίαν εὖ μάλα λελύπημαι, οὐκ οὔσης μοι σχολῆς πάνυ πάντ' ἄνδρα. εὐθὺ γὰρ χρηστῶν ἑτοίμως ἔχω διαπλεύσαι, ὅσα ἡμῖν τῆς σῆς ἕνεκα ὑγείας διὰ τῶν μεθοδικῶν σοι γε γραμμάτων ἐμφανίζεις, ἀλλ' ἴσθι μὲν ὡς πολλάκις ὡς λόγους τῷ μερκουριάλι ἐκείνῳ ἐλθόντες, καὶ ὅπως ἄρα εὖ ἔχειν ἡμᾶς, καὶ τὸν δὴ πάντα χρόνον ἄπειρον, εἴ γε δυνατὸν ἀῤῥωστίας πυνθανόμενοι κεκτῆσθαι, οὐχ ἄν γε ἄλλως ἐκεῖνος ἀντέφησεν δεκτεῖν ἡμᾶς, εἰ μὴ διαίτης χρησαίμεθα, πολὺ διαφερούσης τῆς γε νῦν κακοχύμου καὶ ἀνωφελοῦς ὑπαρχούσης, ἢ τῷ ἀτόμῳ τοῦ ι ταχινοῦ, εἰ μὴ τῇ θείᾳ χάριτι φυλάττεσθαι, προσάγει τὴν κατάλυσιν. αὕτη τοίνυν ἡ τοῦ ἀνδρὸς ἐκείνου ἀπόκρισις, πρὸς τοὺς μὴ ἅπαντα ὑποβρύχιον, τοῖς τῶν νοσημάτων κύμασιν ἐθέλοντας ἔχειν. εἰ τοίνυν

τῦ ἀτόμυ, ὅγε τῇ πίςει ἐς τὸ αὐτὸ ἀνακάμψειν τῇ ἀποδείξει δὲ, μοναπὰ εἴδη, καὶ τὰ ἀριθμῷ ἓν, καὶ συνεχῆ τὴν χοντα, διαίτης υγιῦς, καὶ τροφίμυ ἀνάγκη χρῆσθαι καὶ τῷ μὲν τύτων.

Τοῦ αὐτοῦ.

ΕΙ' καὶ μικρά γε σχολὴ παρ' ἡμῖν οὐκ ἔνεςιν εὑρεῖν σπυδαιὸν, ἄριςε νικόλαε, ὑπό τε τῶν ὁσημέραι ἐκφυυσῶν ἡμῖν φροντίδων, καὶ ἀλλεπαλλήλων ἐννοιῶν, ὑφ' ὧν κἂν τοῖς ἡμᾶς φιλικῶς ἔχουσι, λακωνικῶς βυληθῆμεν γράψαι κωλυόμεθα. ἀλλ' ἄγε συ μεμνημένοι τυτὶ τὸ μικρὸν μὲν φέρον δὲ μεῖζον πόθον, προσεπιςεῖλαίσοι δέον ἐκρίναμεν, σημεῖον μέγα τῆς πρός σε ἡμῶν διαθέσεως, καὶ ἀνεξαλείπτυ μνήμης, δεχθείοις δὲ αὐτὸ ἀσμένως, εἰ καὶ λόγων μοῖραν ὐκ ἐκτίμιον μεγάλην, καὶ τοῖς μεγάλοις καὶ καλοῖς συγκαταλέξειας. σὺ δ' αὐτὸς τῷ τῶν μυσῶν θείῳ σηκῷ προσέρχεσθαι κατεπίγον, καὶ εἰ δυνατὸν ἀεὶ παρ' αὐτῷ μένειν μὴ κατοκνεῖ, καὶ γὰρ σαυτὸν κατακοσμήσεις οὕτως ποῖον καὶ τὺς φήσαντάς σε μακαρίυς τε ὁμῦ καὶ ἀειμνήςυς, τοῖς ἅπασιν ἐμφανίσειας ἔρρωσο, κυδονίηθεν αφπς' δικεμβρίου ιδ' σπυδαῖς.

Τοῦ

Τοῦ αὐτοῦ.

ΟΥ' μικρὸν λελύπημαι, θείαμοι κεφαλὴ θεοδώσιε, ἐς μηδοπωστῦν ὄφλημα διαθέσεως, οὔτε φυσικὸν, οὔτε ξενικὸν, οὔθ' αἰταιρικὸν, τῆς σῆς ἀπολαύσεως σεμνοπρεπείας, καὶ ταῦτα ἐφ' οἷς ἔναγχος ὑπὸ τοῦ ἀντιχρίστου σεραφὶμ, ὃν οἱ περὶ ἡμᾶς στεφανίτην ἀνὰ τὴν δυστυχίαν ἀνηγόρευσαν πόλιν, καὶ πνευματικὸν. φεῦ τῆς ζημίας, οἱ τὸ ἦθος ἐπίβουλοι καὶ μηδὲν ἴχνος χριστιανῶν ἑαυτοῖς ἐπιφέροντας, τοῖς πεπόσιν καὶ ἀχαΐδαις σοι προΐεσαν. ἆρα γε πρὸς θεοῦ ὑμεῖς ἧς τε οἱ τῶν πάλαι ἐκείνων ἀνδρῶν ἀπόγονοι; καὶ πῶς ὑπὸ ἀνδραπόδων τοιούτων, καὶ καθαρμάτων κυριεύεσθαι καὶ διοικεῖσθαι ἀνέχεσθε; πῶς τὴν τῆς ἐκκλησίας σεμνοπρέπειαν, ὑπὸ ἀσήμου καὶ ἐν κακοῖς τὸν βίον διανύσαντος φέροντες ὁρᾶν διευθύνεσθαι; ἀναίσθητε παντὶ σθένει, παντὶ τρόπῳ, ἀπελάσατε τῆς μάνδρας τὸν λύκον, τὸν λυμεῶνα τῆς ποίμνης τὸν τοῦ ἀντιχρίστου πρόδρομον, τὸν ὃν ἡ κύπρος ἔναγχος ἀσμένως βιοῦντα ἔγνω, παπάβιον δὴ ἤδη οὐχ ἧττον ἐκείνης πρὸς τοῖς ἄλλοις, καὶ δαιμονιῶντα διέγνω. τοίνυν ἄν σοι που σπινθὴρ φιλίας παραλέλειπται, δείξοις ἂν τοῦτό γε ἡμῖν περὶ πλείστου ποιοῦσι, καὶ αὐτοῦ ἐπιτυγχάνειν δαιμονίως ἐφιεμένοις.

Τοῦ αὐτοῦ.

ΟΤι μὲν τῆς ἀληθείας ἥ τις ἐςὶν ὁ κύριος ὑπερασπίσας, καὶ ὅλῃ ψυχῇ ταύτην τοῖς ἅπασιν ἐφανέρωσας παντίπου δῆλον ὅτι δέ γε κἀμοὶ τῷ ἀδίκως κατηγορηθέντι ὑπὲρ δὲ τῶν ἀπείρων μου ἁμαρτιῶν δικαίως τιμωρηθέντι, πρὸς δὲ καὶ τῷ γένει παντὶ τῷ ἡμετέρῳ ἐβοήθησας, καὶ ὡς ἄλλος τις ἥλιος τὴν ὁμίχλην τὴν ἐπ' αὐτὴν ἀνεγειρομένην, καὶ σχεδὸν μέλαιναν ἐθέλουσαν πεποιηκέναι, διέλυσας, καὶ τοῖς τ' ἑσπερίοις ἅπασι, καὶ τοῖς ἐπέκεινα γαδείρων ἐμφανὴ γέγονε. τοίνυν ξύμπαντες ἡμεῖς εὐχαριςοῦμέν σοι, καὶ τὰς μεγίςας ὁμολογοῦμεν χάριτας, τῷ ὑπὲρ ἡμῶν συναλγήσαντι μὲν τῆς λύπης, συνηδόμενα δὲ τῆς εὐφροσύνης, ἣν ἤδη ἀνήκοας, ἢ ὅσον οὔπω ἀκούεις. οὐκοῦν ὑγίαινε καὶ ἡμῶν ἐν ταῖς πρὸς Θεὸν ἐντεύξεσι μέμνησο. τῶν τούτων παρὰ τῶν κροίσου χρηζόντων καὶ τὰ μάλιστα δεομένων πλούτου.

ΕΙ' μὲν καὶ ἄλλος τίς κομιδῇ γε ἀλγεῖ, παναγιώτατε δέσποτα, ἐπὶ τοῖς ἀφορήτως συμβεβηκόσι τῇ ἡμετέρᾳ μαξὶ ἐκκλησίᾳ, τῇ τὰ ἔσχατα, οἴμοι, σχεδὸν πνεούσῃ, καὶ ἡμῖν ἅπασι τοῖς ὑπ' αὐτὴν οὔτε σηπόσι μέλεσι, μείζονα τὴν ζημίαν καὶ τὴν πτῶσιν χαλεπὴν ἐπίμως ἐχούσῃ προσενεγκεῖν, ἢ σὺν ἐμοὶ οὔτις καὶ μετ' ἐμὲ ἄντικρύς ἐςι. καὶ γὰρ ἐγώ γε νὴ αὐτὴν τὴν ξιάδα

ἄδα ἧς καὶ αὐτὸς λάξις εἰμὶ, οὐκ ἄνποτε παύσομαι ἄχθεσθαι, καὶ ὑπερβαλλόντως ἀνιᾶσθαι ἕως ἂν ταύτην ὁ τῶν ἁπάντων βασιλεύς, ὃς οὐ μόνον τὴν αἰχμαλωτισθῆσαν φύσιν καὶ ταπεινωθεῖσαν ἐλυτρώσατο καὶ ἀνύψωσεν, ἀλλὰ καὶ εἰς τὴν ἀνωτάτω τίμην ἀνήγαγε, ὑπεράνω τῶν δεινῶν γενέσθαι ταύτην, καὶ τῶν ἄκρων δυστυχιῶν ποιήσας. ἣν οἶμαι ξὺν θεῷ τούτων ἁπάντων ταχέως ἀπαλλάξειν καὶ ὅλως ἐλευθερώσειν, διὰ τοῦ θεσπεσίου θεολήπτου, οὗ τὴν ἀρετὴν εἰκότως ἂν παντὶ αἰδὲς θείη καὶ οἱ θεοὶ, ἅτε οὐ μόνον εὐθὺς ἑτοιμοτάτη ταύτῃ γε καὶ ἡμῖν ὁ πᾶσιν ὤφθη θεραπεία, καὶ τὴν λοιμωτάτην ὅσον τοὺς μπατεσαονικηφορήτας φημὶ ὡς παλαιογλυκὺς ἰησοῦς τοῦ ναοῦ, ἀπελάσας ἀπεσκοράκισεν, ἀλλὰ καὶ τὸν τοῦ κυρίου πόθον οὐκ ἀσθενέστερον τοῦ χρυσοῦ καθιστάναι ποιεῖν. καὶ γὰρ ὁ περὶ κυρίου πόθος ἀσθενέστερός ἐστιν ἡμῖν, ὅταν ὁ τοῦ χρυσοῦ δυνατώτερος καθέστηκε, τοίνυν ἡ σὴ παναγιώτης δεχθείη ἀσμένως τεκμηριόντι τῆς πρὸς αὐτὴν ἀνεξαλείπτου μου μνήμης, καὶ σημεῖον ταῖς ἄκραις δουλικῆς ἀπειθείας, τῆς πρός σε τὸν δεσπότην μου. εἰ δέ γε τὸ δῶρον εὐτελὲς, ἐξ εὐτελοῦς μὲν πάντως ἡγοῦ, καὶ τῇ ἐξολοστέρᾳ πάντων τῶν θηρίων πενίᾳ συνόντος, ἐλευθέρου δὲ, καὶ εἰδότος διδόναι οἷς δεῖ, ἢ λαμβάνοντος ὅθεν δεῖ, εἴ γε τοῦτο τῆς ἀρετῆς ἴδιον, τὸ εὖ ποιεῖν μᾶλλον, ἢ τὸ εὖ πάσχειν κατὰ τὸν φιλόσοφον. ἔῤῥωσο, ἐξ ἐνετιῶν αφπς' ἀπριλλίου κς', δοῦλος τῆς παναγιότητός σου

Γαβριὴλ ὁ φιλαδελφείας.

Τοῦ αὐτοῦ μέρος τι.

ΕΓὼ μὲν εἴπερτις ἄλλος γράμμασι καὶ πράγμασι τὴν ὅσην εὔνοιαν ἔχων διατελῶ ἐμφανίζειν ὑμῖν, ὅσον ἐράνιον ἐφίεμαι, πολὺ γὰρ μοι δοκεῖ δή που μεῖζον ἐς ἀδίκημα, καὶ ἥλικον ἁμάρτημα, τὸ μὴ διὰ μνήμης ἔχειν, οὓς ποθ' εὗρον, καὶ ὅσον οὔπω εὑρήσω, ἀνύποπτον εὔνοιαν ἔχοντας καὶ οὔτ' ἃ τοιαῦτα χαρίζεται τοῖς ἑταίροις .....πάντως μὲν ἀποστερεῖσθαι λυπηρόν ἐστι καὶ χαλεπὸν κατὰ δημοσθένην. ἄλλως τε κἂν ὑπ' ἐχθροῦ φησι τοῦτο συμβαίνει, μάλιστα δὲ τῆς παρ' ἡμῶν εὐνοίας καὶ φιλανθρωπίας, ὅσω περ καὶ τὸ τυχεῖν τούτων μέγιστον, οἶμαι δὲ ὑμᾶς συγγνωκέναι μοι χειμερίοις ἐντυγχάνοντι ἀεί.

ΤΑ'ς μὲν ἐσχάτας ὑμῶν ὀδύνας καὶ ἀφορήτους ἀλγηδόνας, ἡ τῶν ἱερῶν σου γραμμάτων παρουσία διέλυσε, παναγιώτατε δέσποτα, καὶ γὰρ οὐ μόνον ταῖς ἀλήκτοις ὀδύναις, ὁ ἀμόναχος σεραφὶμ, καὶ οἱ αὐτοῦ ὀπαδοὶ, ἡμῖν προξενηνόχασι κατεπιεζόμεθα, ἀλλὰ καὶ ταῖς τῆς σῆς παναγιότητος, ὡς μὴ ὅλως γνῶντες ὅπως τὰ περὶ αὐτὴν ἔχει, καὶ οἵου τέλους τεύξεται, ὡς δ' ἐξαπίνης τὸν ἐμὸν καλῶς ἔχειν δεσπότην μεμαθηκὼς, καὶ χρηστὰς ἔχειν τὰς ἐπὶ κωνσταντίνου ἐλπίδας, οὐκ ἔτι συνεχόμεθα λύπαις, οὔτε ἄγιος ἡμῖν ἔνεστι. τὰ δὲ περὶ τὸν κύριον τὸν βεστιάριον, τὸν γαμαρὸν τοῦ λαμπροτάτου πέτρου βοι-

βοιβόδα, οὕτως ἔχει, πανογιώτατε δέσποτα. εἰ μὲν ὁ ῥηθεὶς ἡσυχῶς διάγειν ἐνταῦθα ἐθελήσειεν, καὶ ὡς τῶν πολλῶν εἷς διατρίβειν, μὴ δὲ πλούτῳ βρύθειν φαίνεσθαι τοῖς ἐν τέλει συγκαταλέγεσθαι, οἶμαι ξὺν θεῷ τὰ πάντα κατασκοπὸν αὐτῷ γενήσεται. εἰ δ' αὖ ἄλλως παρ' ἣ τὸν εἰρημένον τρόπον ἐθελήσειεν βιῶσαι, οὐκ ἐπιτύχησεν, οἱ γὰρ ἐνταῦθα διοικιταὶ τοὺς ὑποφόρον καὶ δουλείαν, τοῦ ἐν κωνσταντινουπόλει τυράννου ὄντας, προσποιεῖσθαι φανερῶς καὶ λαμπρῶς δέχεσθαι οὐ βούλονται, τὸ παρανόμιον ἀποσκοποῦντες τοῦ ἄλλου φαλάγγιδος. τὸ συνάγειν γὰρ εἴωθεν ὅθεν οὐκ ἔσπειρε, καὶ ἁρπάζειν, ὅθεν οὐκ εἰσήνεγκε.

Ἀπὸ τῆς οὐγκροβλαχίας τῇ παρουσίᾳ τοῦ ἱεροαγίου σου γράμματος, ὡς εὔφρανας ἡμᾶς, πανογιώτατε δέσποτα. τὸ μὲν τῷ μαθεῖν ὅπως τὰ περὶ τὴν θείαν σου καὶ μακαρίαν ψυχὴν διοικεῖται. καὶ τῷ μὴ παρορᾶν ἡμᾶς εὖ μάλα μεμαθηκότες. νῦν δ' ὡς ἐξαπίνης ἐπαινήκειν σε πυθόμενοι ἐς κωνσταντίνου, ὡς λόγος, κατασκοπόν σοι, ἢ μᾶλλον εἰπεῖν βέλτιον, τῇ οἰκουμένῃ, καὶ τοῖς τῆς ἀληθείας ὑπερασπισαῖς, δὴ ἤνυσθαι τὰ πάντα, τῇ δυσθηνέστῃ προνοίᾳ πιστεύεται, μεγάλας μὲν ταύτῃ χάριτας ὁμολογοῦμεν, καὶ ὁμολογεῖν οὐ παυσόμεθα. πῶς γὰρ οὔ; οἳ τοὺς ἀναιδεῖς, τοὺς μή τε τὰ ὄντα, μήτ' ἂν γενόμενα τολμῶντας λέγειν, καὶ ἀναι-

ἀναίσχυνται ποιεῖν. ἱερεμία τῷ πάνυ δίκην δῶσεσιν ὡς εἰκὼς ἡγέμεθα, καὶ βεβαίαν παῤῥησίαν μὴ ἔχειν ὁμολογῦμεν, τὰς φθονερὰς, καὶ τὰς πρὸς πάντα χρυσᾶ ἀντιταττομένας, καὶ αἰσχύνην ἐκ ὀλίγην τῷ δυστυχεῖ ἡμῶν γένει παρισῶνται καὶ παρισήσωνται. ἀλλὰ τέτων μὲν τέτων ἅλις.

Τῷ πανιερωτάτῳ δεσπότῃ κυρίῳ γαβριὴλῳ τῷ φιλαδελφίας.

Δίκαιος ἂν εἴη, πανιερώτατε δέσποτα, δικαίαν μέμψιν μεμφθῆναι, καὶ ἔνοχος πάσης ἀπρεπῦς ὑποπτευθείσης περὶ ἐμῦ ὑποψίας εἶναι, εἰγνὺς ἐγὼ τὸν ἄνθρωπον, καὶ μὴ καταγνὺς, μετὰ ξένην ἡμέραν τῆς εἰς βιένναν ἀφίξεως, τῆς ἐκείνυ, μὴ ἀνεχώρησα ξυνυσίας, ἀλλ' ἐπειδήπερ ἐγὼ τὸν ἄνθρωπον ἐξωκήλαντα γνῦς, καὶ μηδεμίαν νυθεσίαν ἐπ' αὐτὸν τὸ ἐνεργῦν ἔχυσαν, ἡμέρας ἤδη τεσσαρεσκαίδεκα, μέχρι τῆς τιβιγγίας διάςημα ἔτι μετ' αὐτῦ δέον ὁδεῦσαι, παραιτησάμην τὸν ξυνοδοιπόρον, πῶς ἐκ ἀπελύθην ἐπὶ λοιμῶν καθέδρᾳ καθῆσθαι ἐγκλήματος. μένω τοίνυν ἐνταῦθα. πανιερώτατε δέσποτα, τοιέτῳ πειρώμενος δαίμονος, οἷον εἴσῃ παρὼν τῷ αἰδεσιμωτάτῳ ἀπέςαλκα πρωτοπάπα, ὁ δὲ τὴν ἁπανταχῆ φέρυσαν ᾤχετο, ἀχρηδῶν παξιάρχης γραφόμενός τε καὶ ὀνομαζόμενος, ἀλλ' ἐπὶ τέτοις μὲν ἐγὼ

ἐγὼ ἠδικήθην ἐδὲν, πλὴν ὅτι τῆς προκειμένης ὁδε μοι κεκώλυμαι. μένοις ἔν, πανιερώτατε δέσποτα, τηρῶν τὴν ὑπόσχεσιν ἐπ' ἐμῇ ψυχῇ εὐδαιμονίᾳ τὸν θεὸν ἱλεέμενος ἀλλὰ κἂν τῷ ἐνδοτέρῳ τῆς ψυχῆς αἰὲν ἀναπεμπάζων ἐ λήγω, τί ὅτι κἀγὼ τῆς σῆς βοηθείας μετὰ πολλῶν ὅσον οὐκ ἀπολέλαικα, ἐκ ἄλλῳ τῷ τέτε, ἀλλ' ἐμφύτῳ προσάπτω τὸ αἴτιον, ὅς ἅπερ ὡς ἐνόμιζον τῇ σῇ προσέρχεσθαι ἱερώτατε, διόπερ καὶ εἴλημαι ἀνάξιος τῆς παρὰ σε προμυθείας ἐπιτυχεῖν ἀρ' ἀνάγκη μοι ἔθνεσιν ἀλλοδαποῖσιν ξυνδιαιτᾶσθαι εἰ τὴν σὴν εὔνοιαν, πανιερώτατε δέσποτα, εἶχον ταμὰ προμυθημένην, ἀλλ' ἐν καὶ αὖθις καθ' ἡδόνην μοι τετ' ἔςαι, καίτοι μακράν πε ἀποικισμαι ταύτης ἀπολαμβάνειν ἣν ἀποδέξηται τὸν ἱκέτην. ἐῤῥωμένην διατηρείη κύριος τὴν σὴν ἱερὰν κορυφήν, πανιερώτατε δέσποτα, ἡμῖν τὰ ἄριςα εὐχομένην. ἀπὸ βιέννας νοημβρίε, ις' αφπθ'

μικρὸς δῦλος λεόντιος ἱερομόναχος.

Τῷ πανιερωτάτῳ καὶ σοφωτάτῳ μητροπολίτῃ φιλαδελφείας κυρίῳ, ἱμετέρῳ κυρίῳ γαβριὴλ, ὁ ταπεινὸς χίου ἱππόλυτος, ἐπίδοσιν πνεύματος ἁγίου

ΤΗ'ν μετὰ τῆς προσηκέσης δορυφορίας καὶ αἰδοῦς ἀνάῤῥυσιν, εἴτε παλινῳδὶ πισθεὶς τῆς σῆς ἐνδελεχῦς μοι σεμνοπρεπειότητος, ὦ θεῖα

ὦ θεία καὶ ἱερὰ κεφαλὴ, ἤσθην πῶς δοκεῖς μέχρι τούτου μοι τῷ ἐπεὶ χρηςέον, δι' ἃς ὑπολήψεις ματαίας καὶ ὑπονοίας, οἶδας ἡμεῖς δὲ παμφιλτάτου, τοσοῦτόν σε ὑπὸ τῶν ἀσθενειῶν, ἐπικαιρικῶν πραγμάτων, ἰδεῖν ἐπεξάπτημεν, ὅσον οἱ ἐν πελάγει ἀλλήλου παραμειβόμενοι. πλὴν κἂν τὸ μεταξὺ διάςημα οὐκ ὀλίγον ἡμᾶς ἀπετείχισεν, ἀλλ' ἡ τῆς φιλίας διάθεσις, οὐκ ἀπ' ἀλλήλων διαςῆναι πεποίηκε, καὶ εἰ τὴν διὰ σώματος ὁμιλίαν ἀπεκλείσθημεν, ἀλλὰ τῇ διανοίᾳ καὶ φωνῇ. οὐ γὰρ σιγῆσαι τὰ σὰ σὺν θεῷ προτερήματα, ὁ θεσπέσιος φίλος δυνάμενος, καὶ ὅπερ φύσει ποιεῖν ἀμήχανος τοῦτο φιλία ἐπινοεῖν εὐμήχανον. καὶ ἔςιν ἰδεῖν ξένον θέαμα γινόμενον, τοῖς ὁρῶσί τε, καὶ ἀκούουσιν, ὃ γὰρ οὔτε δυνάςειμαι κατεπράξατο, οὔτε ἄλλη τίς ἐπενοήσατο μέθοδος, τοῦτο φιλία καὶ ἐφεδρεῖν ἠδύνατο καὶ ἐξεργάσασθαι. διὰ τοῦτο χρὴ ἡμᾶς ὁμόσε ταύτην, ἀσπάζεσθαι καὶ φιλεῖν. ἃ γὰρ παρὰ τῶν ἄλλων ἀμήχανα ἐν τοῖς ἄλλοις καὶ ἀδύνατα, δυνατὰ μᾶλλον εὑρήσεις ἐν ταύτῃ ὡς καὶ τὰ ἀδύνατα δύνασθαι. ἐπεὶ καὶ σύνσοφος καὶ σύνδεσμος καθέςηκεν πάσης σοφίας καὶ φιλοσοφίας. αἳ διό ταῦτα οἶδασι, τὸ, μετρίας διαθέσθαι τὴν εὐταξίαν, καὶ εὐσχημοτάτου τὴν συμφορὰν, οἷον ἡμεῖς θαυμάσια ἐπεπόνθημεν εἰ καὶ ὁ θεὸς οὐκ εἴασεν ἡμᾶς πειρασθεῖναι, παρ' ὃ οὐκ ἠδυνάμεθα. ἐῤῥωμένος μοι διαβιώης, ἐῤῥωμένος δ' ἀλλήλεν δετος ἀρχιερέων κορωνὶς καὶ σοφῶν ἀκροθήνιον, ἐμοὶ

δὲ κα-

ἢ καὶ πάντα παραιδεσιμώτατε δέσποτα, καὶ καταξιῶ εἰ μὴ ἀπαξιῆς, μὴ λῆγε τοῦ χαίρειν. ἴσθι γὰρ ὡς οὐκ ὀλίγης τίς παραμυθία, ἡμῖν τῆς πάντοθεν ἀπαρακλήτου ἐκ τῶν σῶν σοφωτάτων γραφῶν (τῶν ὡς ἄλλο κέρας ἀμαλθείας τό τε ἢ νῦν καὶ ἀεὶ ἐπιρρώννυε ἡμᾶς ταῖς πρὸς θεὸν δι' εὐπροσδέκτοις ἐντεύξεσιν.

Τοῦ αὐτοῦ.

Τοῖς πανιερωτάτοις καὶ θεοφιλεστάτοις σοφωτάτοις τε καὶ λογιωτάτοις ἀρχιερεῦσι ἐν ἁγίῳ πνεύματι ἀγαπητοῖς ἀδελφοῖς καὶ συλλητουργοῖς κυρίῳ γαβριὴλ τῷ φιλαδελφείας καὶ κυρίῳ μαξίμῳ κυθήρων τῷ μαργουνίῳ. ὁ ταπεινὸς ἱππόλυτος ἐπίδοσιν πνεύματος ἁγίου.

Τρέχει μὲν πᾶς εἰς τὴν ἄνω βοήθειαν ἐφ' οἷς καὶ χρήζει δεόμενος, οὐ γάρ ἐστιν ὅς τις οὐ δέεται. οὕτω γὰρ τὰ καθ' ἡμᾶς σαφῶς οἰκονομεῖ καὶ πλέκει ἡ πρόνοια, ἵνα πᾶς τις ἐξ ἑαυτοῦ μανθάνων, ὁποιόν ἐστι τὸ, δεέσθαι αὐτὸς ἐπ' ἄλλων καὶ ἄλλων δεόμενος, δι' εὐκτὸς εἴη τῷ δεομένῳ, ἐκ τῶν καθ' αὐτὸν τ' ἀλλότριον στοχαζόμενος, καὶ ἀρκεῖ ἐπὶ τῆς εἰκόνος ταύτης ἐᾶσθαι τὸν λόγον, νοήμασι καὶ οἰδήμασι λόγων καὶ ἀρχιερέων κανόσι, σταθμασι, καὶ κορωνίσι λόγον ὑποσημαίνων συμβολικόν. νόει γάρ φησιν ὁ πίνδαρος, ἔνθεν φέρετε τὴν εἰκόνα ὑμεῖς θεαπεσιώτατοι, οἱ πολλῶν ὑπερέχοντες, καὶ εἰ καὶ πάντων εἴπω, οὐκ ἂν ἁμαρ-

μαρτάνω, κατάγε τὴν ἀξίαν, καὶ ἐντελέχιαν τῆς σοφιας ποσότητα τε, καὶ ποιότητα τῆς ὑψηλοτάτης φιλοσοφίας, καὶ χρήζεσιν ἡμῖν ἐνταῦθα, βοήθοιτ' ἐκ τῶν αὐτόθι. οἶμαι δ' ὅτι ἡ πρὸς με βοήθεια, καὶ πρὸς τὴν ἡμετέραν σεμνοπρεπειότητα διαβήσεται, καὶ ἄλλως, ἵν' ὁ ἂν, καὶ αὐτοὶ χρήζηται ἐκ ἀποτυχῦντες τῶ δέεσθαι. ᾧ γὰρ μείζω μεζῦμεν ἀντιμείζεῖσθαι παρὰ θεοῦ διδασκόμεθα, χρῆσθαι τοιγαρῦν ἐν καιρῷ τῷ ἐν δέοντι ὑπὸ ἀδελφοῦ τῇ δυνάμει κατὰ τὴν βέλησιν, ὡς ἂν δυναμοδύναμις ἡ δύναμις γένοιτο, ὡς ἀριθμητικὸς ἀνὴρ ἰσχυρίσατο. ὁ γὰρ τὸν τετράγωνον ἀριθμὸν καθ' ἑαυτὸν πολλαπλασιάζων, ποιεῖν τὴν δυναμοδύναμιν.

Ἔῤῥωσθέμοι καὶ διβιώοιτε, πατέρες καὶ ἀδελφοί, εἰ μὴ ἀπαξιῆτε αἰδεσιμώτατοι καὶ αὐθέντες καὶ δέσποται πανιερώτατοι, χαιρόμενοί μοι, καὶ ὡς ἐγὼ θέλω, θέλω δὲ ὡς αὐτὸς ἐπ' ἐμαυτῶν, ζωὴν τε ὑμῖν καὶ τὴν κατὰ κόσμον διατριβὴν πάλαι προσεπτυξάμην. τὸν ἡμέτερον ἀνεψιὸν νικόλεων τὸν ἀνδρειόπυλον συνίστημι ὑμῖν ὡς ἐμαυτὸν, τὸν οὐτιδανὸν ἐν χριστῷ ἀδελφὸν ἡμῶν. πάντες οἱ ἡμέτεροι δὲ ἡμῶν πάμπολλα προσαγορεύουσι τὴν ἡμετέραν τελειότητα, καὶ γονυκλιτῶ τὰς τὸ δεσποτικὸν σῶμα αἱρούσας πανδλαβῶς κατασπάζονται.

Μεμακτηριῶνος, δέκα ἐπὶ ἓξ ισὶ φθίνοντος.

Τῷ

Τῷ πανιερωτάτῳ μητροπολίτῃ τῆς ἁγιωτάτης μητροπολίτῃ τῆς ἁγιωτάτης μητροπόλεως φιλαδελφείας κυρίῳ γαβριὴλ τῷ σεβήρῳ νικηφόρος ἱερομόναχος ὁ χαρτοφύλαξ αὔξησιν θείου πνεύματος.

ΟΥ᾽ παύεται ἡ κακία τοὺς ἑαυτῆς ὑπουργοὺς κατὰ τῶν τὴν ἀρετὴν μετιόντων διερεθίζουσα πᾶσι τρόποις κακώσειν τούτους καὶ ἣν ἔχουσι πρὸς πάντας ἀγαθὴν ὑπόληψιν σμικρύναι μηχανομένη, οὐ φέρουσα τούτους διὰ ἀρετὴν εἰς ὕψος ὄντας ὁρᾶν, εἰς ὅπερ αὐτῇ διὰ πονηρίαν ἀναβῆναι οὐ δυνατόν. τοιοῦτόν τι περὶ σὲ τὴν τιμιωτάτην μοι κεφαλὴν ἔναγχος συμβεβηκέναι πυθόμενος καὶ λελύπημαι σφόδρα καὶ ἥσθην τὰ μέγιστα, τὸ μὲν, τὴν τῶν διαβαλόντων ὀδυρόμενος ἀπώλειαν, τὸ δὲ, σὲ τὸν διαβληθέντα λαμπρότερον πανῦν ἢ πρότερον ἀναφανῆναι μεμαθηκώς, ὥστε ἐξεῖναι μοι λέγειν ἀπεναντίας τῷ σοφῷ σολομῶντι, ὅτι συκοφαντία ἄνδρα οὐχὶ ταπεινοῖ, ὡς αὐτὸς διακελεύεται, ἀλλ᾽ ἀνυψοῖ, ὡς ἐπὶ σοὶ γεγονὸς τεθεώρηται. χαίρω τοιγαροῦν καὶ συγχαίρω σοι, πανιερώτατε δέσποτα, τῆς τοιαύτης κατὰ σοῦ τό γε νῦν ἔχον συσκευωρηθήσης διαβολῆς παρὰ τῶν μὴ φοβουμένων τὸν κύριον ἀνωτέρῳ φανέντι. πῶς γὰρ οὔ; τὴν σὴν τιμὴν κοινὴν εἶναι παντὸς τοῦ γένους ἡμῶν τοῦ ποτὲ μὲν περιφανεστάτου, πανῦν δὲ καὶ λίαν δυστυχεστάτου τυγχάνοντος λογιζόμενος τὴν σὴν λέγω, τοῦ μόνου σχεδὸν ὑπολειφθέντος ἐν τοῖς καθ᾽ ἡμᾶς χρόνοις σπινθῆρος τῆς ἀρετῆς, καὶ

οἱονεὶ ζωτικῆς δυνάμεως τοῦ ἀπονεκρωθέντος τοῦ σώματος ἡμῶν τῶν ἑλλήνων. εἴης τοίνυν δικητῶν ψυχῇ τε καὶ σώματι, πατέρ μου πανιερώτατε, εἴς τε καλλωπισμὸν καὶ κόσμον τοῦ ἡμετέρου γένους, καὶ καταρτισμὸν τούτου καὶ πρὸς οὐρανοὺς χειραγωγίαν διὰ τῶν πνευματικῶν ὑποθημῶν τε καὶ παραινέσεων, μᾶλλον δὲ διὰ τῶν ἐν σοὶ ὡς ἐν παραδείγματι θεωρουμένων ἀνεξαλείπτων τῆς ψυχῆς σπουδαίων ἕξεων· ἀλλὰ ταῦτα μὲν εἰς τοσοῦτον. περὶ δὲ τῶν κατ' ἐμέ. εἰ περὶ τούτων τίς λόγος παρὰ τῇ σῇ ἁγιωτάτῃ, γινωσκέτω σου ἡ ἀρχιερωσύνη ὡς ἤδη σὺν θεῷ εὐθὺ ῥώμης πλέομεν καὶ ἄλλων ἕνεκα ὑποθέσεων, ὡς παρὰ τῶν ἡμετέρων πᾶσι καταλεπτότερον, καὶ πρὸς ταύταις, ἄλλης τινὸς ἀναγκαιοτέρας, ἣν ἡ πάντα κυκῶσα καὶ συγχέουσα κακία διεπράξατο. διεβέβλητο γὰρ ὁ πάντα καλὸς κἀγαθὸς κύριος νικόλαος ὁ γειμάνης παράτινων πονηρῶν καὶ μισοκάλων ἀνθρώπων, ὡς αὐτὸς εἴη καθηγεμὼν καὶ προδότης τοῖς μεμιασμένοις ἀγαρηνοῖς τῆς λήψεως πειρατικῆς τινος νηὸς τοῦ μεγάλου μαγίστρου τῆς νήσου μελίτης, ὥστε κατ' αὐτοῦ κινηθέντα τὸν ῥηθέντα μάγιστρον εἰς τοσαύτην μεγίστην καὶ ἀνυπέρβλητον ὀργήν, ἀποφήνασθαι μεγίστην ἄξιον ἔσεσθαι δωρεῶν τὸν ὑπεξαγάγοντα τοῦτον τῆς παρούσης ζωῆς, οὐ τὸ μὲν ἕτερον τῶν ὄντων κατὰ τὸν μακεδῶνα τοῖς διαβάλλουσι παραχόντα, τὸ δὲ φυλάξοντα τῷ διαβαλλομένῳ, ἀλλ' ἄμφω ταῦτα τοῖς διαβάλλειν ἐθέλουσιν ἀκάραια

πα-

παραχωρήσαντα. τέτε τοίνυν ἕνεκα ἀξιοῦμέν σε τὴν πανιερώτητα ἐνδείξαθαι τὴν πρὸς πάντας εἰθισμένην σε καλοκἀγαθίαν καὶ εὔνοιαν πρὸς τὸν διαληφθέντα κύριον νικόλαον, συνιςῶσιν τῦτον τῇ ἐκλαμπροτάτῃ γερεσίᾳ τῶν ἐνετῶν ἄνδρα χριςιανικώτατον καὶ εὐσεβέςατον καὶ τὰ πρὸς τὰς χριςιανὰς πιςότατον ὁμοῦ καὶ εὐνοικώτατον, αἰτήσασάντε γράμμα παρ' αὐτῶν δηλοῦν τὴν ἣν ἐνεδείξατο πρὸς αὐτὰς τῷ τῆς μάχης καιρῷ εὔνοιάν τε καὶ προαίρεσιν ἀγαθὴν διάτε σιτηρεσίε ὅτι πλείςων κομιζομένων παρ' αὐτῦ διὰ ὀλκαδίε ἰδίων ἐς κρήτην, καὶ ἄλλων ἀγγελιῶν ἀναγκαιοτάτε εἰς προφυλακὴν τοῖς πιςοῖς, ὡς ἐπίςαται καλῶς ὁ γαληνότατος πρίγκηψ, καὶ οἱ πλείους τῆς ἐκλαμπροτάτης αὐτῦ γερεσίας, ὅ, τε ἐκλαμπρώτατος κύριος ἰάκωβος ὁ φωσχαρίνης, καὶ ὁ ἐκλαμπρότατος κύριος λεκᾶς ὁ μιχέλης. περὶ οὖν τέτων ὡς ἐκ προσώπε ἰδίου τῦ ῥηθέντος κυρίου νικολάου ἐπιςέλλω σοι, δέσποτά με πανιερώτατε, σὺ δὲ ὡς νουνεχής τε καὶ περὶ ταῦτα πρακτικώτερον ἔχων, οἰκονόμησον τὸ βέλτιον, ὥςε ἣν πρὸς αὐτὸν ἔχων διατελεῖς εὔνοιαν καὶ ἐν χριςῷ φιλίαν καθαρητέραν ἀναδεῖξαι διὰ ταύτης σε τῆς συνδρομῆς, καὶ πρὸς τὴν αὐτὴν ἐκλαμπροτάτην γερεσίαν τῶν ἐνετῶν τέτε συςάσεως ἔρρωσο, δέσποτά με πανιερώτατε, μεμνήμενοι καὶ ἡμῶν ἐν ταῖς πρὸς θεὸν ἱεραῖς σε ἐντεύξεσιν.

Τὰ γράμματα ἀποςαλθήτησαν ἐς ῥώμην εἰς τὸν αἰδεσιμώτατον καρδυνάλιν μουντάλτον ἐπι-

πι-

πίζοπον τῆς καθ' ἡμᾶς σεβασμίας μονῆς· ἀπὸ ζάρας, ἐν ἔτει ἀπὸ χριστοῦ γεννήσεως, ᾳφπθ' ἐν μηνὶ ἰουνίου ά

Τῷ πανιερωτάτῳ καὶ πανταγιωτάτῳ μητροπολίτῃ φιλαδελφείας κυρίῳ γαβριὴλ, εὐπράττειν.

ΚΑί περ μέχρι θανάτου διὰ θαλάσσης καὶ ξηρᾶς ἐκινδυνεύσαμεν, δέσποτα ἅγιε, λοιπὸν δόξα τῷ θεῷ τῷ παιδεύοντι καὶ τοὺς ἐσχάτους κινδύνους αὖθις ἀναδεξαμένῳ δι' εὐχῶν σου ἁγίων, εἰ μὲν γὰρ ἀριθμῆσαι θέλω τῶν εὐεργετημάτων αὐτοῦ, ἐπίλειποι δ' ἂν ἡμᾶς ὁ πᾶς χρόνος, τοίνυν τὸ μὲν τμῆμα τῆς ἐξευωνύμου χειρὸς ὡς οἶδας, ἄχρι τοῦ νῦν καιριώτερόν ἐστιν. καὶ γὰρ τὸ ὀστοῦν τῆς σιδερωσίας κεχωρισμένον ἦ, καὶ ἐς ἀεὶ πιέζουσί με οἱ πόνοι καὶ ἀναθαρρεῖν οὐκ ἐῶσιν, μόνον αἱ παναγίαι σου εὐχαὶ γένοιντο ἀλεξιτήριαι. περὶ δὲ τῆς ἐμῆς ἐπισκοπῆς οὕτως ἔχουσιν. τινὲς πρέσβεις τῶν κεφαλληνιαίων ἀναγκαζόμενοι ὑπὸ τοῦ ἐπισκόπου αὐτῶν, ὥρμησαν καθ' ἡμῶν, φάσκοντες πρῶτον, ὅτι χρόνου πολλοῦ παρεληλυθότος, καὶ οὐδεὶς ποτε τῶν ἐπισκόπων τῆς κυθηρίας παρεγένετο, εἰς τὸν θρόνον αὐτοῦ. δεύτερον μηδενὶ τῶν κρητῶν δεῖ με καὶ ἔξεστι χειροτονεῖν, καὶ ἄμφω ἐκ πάλαι φασὶν ἔλαβον δι' αὐθηλικοῦ προστάγματος, καὶ ταῦτα οὐκ οἴονται ὡς ἔχειν, τοῦθ' ἕνεκεν κωλύουσιν ἡμᾶς ἀπιέναι εἰς τὸν θρόνον, ὃν τὸ

τὸ πνεῦμα τὸ ἅγιον διὰ μέσου τῆς σῆς πανιερώτητος μοι ἐδωρήσατο, περὶ ὧν τις τῶν χριστιανῶν ἐνόμισέ ποτε τοιοῦτον παρανομώτατον ἐπιχείρημα, ὅτι εἷς ἐπίσκοπος κρατεῖν καὶ ἐξουσιάζειν θρόνῳ τεσσάρων καὶ παροινορίας, κεφαληνίας, ζακύνθου, κυθηρίας, καὶ κρήτης, ὅπερ ἐστὶν ἔξω τῶν κανόνων τῆς καθολικῆς καὶ ἀποστολικῆς ἐκκλησίας, λοιπὸν τίνα ἂν δίκην ἀξίαν κομίσαιτο, ὧν εἰς ἡμᾶς εἰργάσατο καὶ ποιεῖ, ὅμως ἀνατίθειμι τὰ πάντα θεῷ τῷ παντεπόπτῃ.

Τῷ αἰδεσιμωτάτῳ καὶ σοφωτάτῳ ἀνδρὶ, καὶ πανιερωτάτῳ μητροπολίτῃ φιλαδελφείας κυρίῳ κυρίῳ γαβριὴλ τῷ ὑπερτίμῳ εὐτελὴς ἱερομόναχος ἰωάσαφ ὁ δορυανὸς εὐπράττειν.

Ἡδέως νὴ τὸν φίλιον, φίλτατε, καὶ δεξαίμην ἂν σὸν γράμμα δι᾽ ἀμφότερα, ὅτι καλὸν, καὶ ὅτι παρὰ σοῦ, ἀπὸ δὲ τῆς χαρᾶς ταύτης ἀπεστερήθην, ἰδοὺ πέμπω ἐγὼ τὸ γράμμα τουτί. εἰ δ᾽ ἀνειμένως ἔχω καὶ ἀφελῶς, καὶ ὡς οὐκ ἂν ἀρέσκοιτό τις τῶν σοφωτέρων ὁρῶν, (πόρρω δὲ εἰρωνίας ὁ λόγος) μή μοι τῷ ἀχρείῳ ἀχθεσθῇ, ὦ σοφώτατε ἄνερ. οἶδα γὰρ καὶ τὴν ἐμὴν πρὸς τὸ γράφειν ἀσθένειαν, οἶδα καὶ τὴν σὴν εὐφυΐαν καὶ ἀκρίβειαν, ἀλλὰ καὶ ὑπὸ πέπομφα τὸ γράμμα, μηδὲν ἀναβαλλόμενος· τίνι θαῤῥήσας τῷ τοῦ δεξαμένου τρόπῳ, πεφυ-

φυκότος μὲν, εἴ τι καλῶς εἴργασθαι, ἐκ ἀποστερεῖν ἐπαίνων. εἰωθότος δὲ καὶ τοῖς ὡς ἑτέρως ἔχεσιν, ἐπάγειν μὲν κατὰ δύναμιν τὴν διόρθωσιν, κατηγορεῖν δὲ καὶ φανερῶν πρὸς οὐδένα τὴν ἁμαρτίαν, ἰαξὲς ἐν τέτῳ ζηλῦντος τοὺς περὶ τὰ τῶν ψυχῶν ἀκη θεραπεύοντας, ἀλλ᾽ ἐ τὰς ὑλικὰς ταύτας καὶ περὶ τὰ σώματα στρεφομένους, οἳ κἂν τὸ βραχύτατον νοσημάτων ἢ τραυμάτων τύχωσι καταδήσαντες ἢ θεραπεύσαντες ἐμπομπεύουσι τῷ πραχθέντι καὶ πάσαις ἀκοαῖς ἐνοχλῦσι, τὴν περὶ θεραπείαν δεινότητα διηγέμενοι, ἀλλ᾽ ἰδοὺ πέπομφα τὸ γράμμα τῦτο πρὸς τὴν σὴν σεμνοπρέπειαν, πέπομφα δὲ ἐχ ἑκὼν, ἀλλ᾽ ὑπὸ τῆς κατὰ θεὸν ἀγάπης τυραννηθείς. τετυράννημαι δὲ οὐκ ἄκων, ἀλλ᾽ ἑκεσίως, ὡς συμβαίνειν ἐντεῦθεν καὶ αἴνιγμα εἶναι, καὶ λέγεσθαι τὴν ἐπιστολὴν ταύτην ἑκουσιοακέσιον, ἀλλὰ δέδοικα, μὴ πταισματά τινα ξυνῶσι τῷ γράμματι τέτωι. τὸ δὲ καινὸν, εἰ πταῖσαι συνέβη μοι εἴτε τῷ ἐπιλελῆσθαι, εἴτε τῷ ἀπροσεκτῆσαι, εἴτε τῷ τι πάθειν ἕτερον, οἷς εἰκός ἐστι πάσχειν ἀνθρώπους ὄντας ἡμᾶς. ἀλλ᾽ ὥσπερ ἐγὼ, τὸ μὸν μέρος, θεσμὸν φιλίας πεπλήρωκα κατὰ δύναμιν. οὐ γάρ μοι ἔξεστι τοῖς ἀριστοτελικοῖς ἐγκύπτειν λαβυρίνθοις ἄλλων γὰρ ἄλλων, ἢ τῶν ἐμῶν ἐπαίνων ἔδεισε πρὸς τὸ σὲ ἐπαινεῖν, οὕτω καὶ σὺ, τίμιε πατὲρ, τοσὸν ἐκπληρῶν φάνηθι, καὶ ἀμοιβαίοις ἡμᾶς καθιλάρινον σοῖς γράμμασι. καὶ γὰρ χαρίῃ τὰ μέγιστα

ὅτι

ὅτι εἴπερ μοι τὰ χροίσυ προσέπεμψας πάλαι τα, οὐκ ἂν ὕτως ἀμενέσιον εἶδεν ὀφθαλμοῖς, ὡς σα γράμματα. πλῦτον ὄντως συ, πανιεράτατε πατὲρ, ἀποπλυθεὶς ὑ τὸν ῥύσὸν ἢ ἐπίκηρον, ὑ τὸν φιλῦλον ἢ φιλόσαρκον, ἀλλὰ πλῦτον ἀληθῆ, δι' οὗ τὰς πιςὰς ἐπιδὰς τῇ μελισαγείσου γλώττῃ, δι' οὗ ἡδονὴν ἐνοικίζεις τοσαύτην τοῖς τῶν σῶν λόγων ἀκούυσιν, ὅσον ὐδὲ αἰσειρῆνες ἐκεῖναι τοῖς πλέυσι ξυγγενέθαίσοι δ' αὖθις καὶ ξυζῆσαι σὲ σὺν ἡμῖν τοῖς σοῖς τέκνοις, οὐ πρὸς ἡμῶν, ἀλλὰ πρὸς θεοῦ τοῦ τὰ πάντα ῥαδίως τελεσφορῦντος, ἀλλὰ δίωκε καὶ σὺ τίμιε πατὲρ, ἢ πράττε ἣν βούλῃ ὁποῖόν σοι ἐςὶν αἱρυμένῳ, ἢ αὖθις μὴ δίωκε, εἰ τῦτο νικῶ παρά σοι. ὡς ἡμεῖς γε καταδεξόμεθα μάλα ἀσμένως τὴν παρὰ σῦ ψῆφον, ὁποῖα ποτ' ἂν ἢ πλὴν ὅπως ὅπερ ἐπὶ τοῖς παροῦσι ποιῆσαι κρινεῖς, ἔχειν καὶ ἄλλοι συνεπαινεῖν. καὶ περὶ μὲν τύτων ἅλις. ἀγαπώης δὲ ἡμᾶς οὕτω τὸν ἑξῆς ἅπαντα χρόνον, ὦ θεία ἢ ἱερὰ κεφαλὴ, μεταβάλλων σαυτὸν τῆσδε τῆς διαθέσεως ὑπ' οὐδενὸς μηδέ ποτε, ἀλλ' ὁ αὐτὸς μένων, λέγε τὸ θεσπέσιον ἐκεῖνον εἰπόντα τὸ, ἐγὼ ὁ αὐτὸς εἰμι καὶ οὐκ ἠλλοίομαι. ἀλλ' ἐφάπτοι τόσον τῆς ψυχῆς κύριος ἐπὶ τὴν ἀδυτάτην σε διὰ παντὸς τῶν ἑαυτῦ δικαιωμάτων ἰθύνων ὁδὸν, ἐν ᾗ καὶ τοῖς πορευομένοις, ὡς ὁ μέγας λέγει δαβὶδ, τὸ ἑαυτῦ σωτήριον δείκνυσι. ταῦτα εὔχομαι, ταῦτα καὶ ἐκπληροίη θεὸς, καὶ παρέξοισοι ὅσα εἰς ἁγιασμὸν ἢ θέωσιν τῆς σῆς

 ψυ-

ψυχῆς, καὶ ὅσα εἰς ὑγείαν τοῦ σκήνους καὶ εὐεξίαν, ὡς γένεσθαι, λόγῳ καὶ ἔργῳ καὶ ἀρεταῖς, τῶν παρὰ πᾶσι ᾀδομένων γενναίων ἀνδρῶν ὁμόζοπόντε καὶ ὁμότιμον. Ἔρρωσο. ἀπὸ τῆς κρήτης βοηδρομιῶνος τετάρτῃ φθίνοντος, καὶ τὸ αφπθ´ ἔτος τῆς ἐνσάρκου τοῦ σωτῆρος ἡμῶν οἰκονομίας.

Γαβριὴλ τοῦ φιλαδελφείας.

ΤΟ' μὲν διαβάλλειν ἀπὸ τοῦ κακῶς ποιεῖν, δαιμονίου τῷ ὄντι ἐστὶ θεσμῶν καὶ ἔχθρας ζυφὴ καὶ μίσους ὑπέκαυμα. τὸ δὲ διαβάλλεσθαι ἀπὸ τοῦ καλῶς ποιεῖν καὶ εὐεργετεῖν, κυρίου ἐστὶ ἐπίταγμα τοῦ σωτῆρος, οὕτω τοίνυν κἀμοὶ συνέβη, παναγιώτατε δέσποτα, τῷ πολλάκις καὶ ἐν πολλοῖς τῷ τῆς κυθηρίας δὲ ἵν' οὕτως εἴπω ἐπισκόπῳ εὐεργετήσαντι καὶ ἐπικουρήσαντι, ὃς ἐφ' οἷς νῦν ἔδει ἀντιμείψασθαι συκοφάντας ἐπὶ τῶν ἐνθάδε ἀφορίσαι προείλετο. ἀλλ' οὐ κατασκοπὸν γέγονε τὸ ῥαδιούργημα, μᾶλλον δὲ τοῖς μὴ εἰδόσιν ἑαυτὸν, ἐμφανῆ τῷ ὄντι κατέθετο. τοιγαροῦν ἴσθι μὲν ἡμᾶς, παναγιώτατε δέσποτα, οὐ συκοφαντεῖν μεμαθηκότας, τηρεῖν δὲ τὴν γλῶσσαν καθαρὰν κατηγορίαν ὡς οἷόντε, καὶ μάλιστα. τὸν δὲ μαργούνιον συκοφαντεῖσθαι ὑφ' ἡμῶν ἀδύνατον, ἢ μομφήν τινα κατ' αὐτοῦ διεγειρομένην εὑρεῖν, αἰτιαθῆναι δὲ αὐτοῦ τὴν προαίρεσιν, καὶ τὴν αὐτοῦ κα-

κα-

καταστέλλεσθαι προπέτειαν οὐκ ἀρνούμεθα. πῶς γὰρ οὐκ ἔδει, ἀρνητὰς κυρίου ἐπὶ τῶν ἐκεῖ σέ τό τε καλέσαντα ἡμᾶς. οἳ τὰ μέγιστα ἠξίουν τὴν ὅπως δήποτε αὐτῷ γεγραμμένην κατά τινος φράσεως γραφὴν μὴ ἐπισεῖλαι. παρ' αὐτοῖς δὲ ταύτην ἐᾶσαι, σκέψεως καὶ ἐξακριβώσεως ἕνεκα. μυρίαις γὰρ ἀνωμαλίαις περιπέσαμεν ἄν, καὶ γέλωτα τὸν οὐ τυχόντα παρὰ τῶν κρατούντων, ἂν μὴ σιγῇ τὸ πρᾶγμα καὶ ὡς τυχὸν διέλθωμεν, οἱ σὺν ἐμοὶ τότ' ἐβόων ἀδελφοί, ὁ δὲ τῇ λατίνῳ διαλέκτῳ τάχα φυσιούμενος, ἢ καλύψαι πειρώμενος οἵαν πάλαι περιειλημμένος ὢν αἰσχύνη, ὑπερασπίζαν αὐτοῖς, καθ' ὧν ὑπισχνεῖται ἀποδεῖξαι ὅτι ἡ προσθήκη καλῶς γέγονε, καὶ ὅτι πρεπόντως προσετέθη, καὶ ὅτι ἐδύναντο προστεθεικέναι αὐτήν. οὐκ ἐς νοῦν ὅλως βαλλὼν οἷα τὰ παρ' ἡμῖν, ὅτι ἀσθενῆ καὶ τῶν ἀπαρρησιάστων, καὶ ὅτι τὰ τῆς ἐνταῦθα ἐκκλησίας κινδυνώδη, τοίνυν καταλέγξαμεν αὐτὸν ὡς εἴρηται μήτε τὰ τῶν γραικῶν μή τε τὰ τῶν λατίνων φρονοῦντα. οὐκ οἰκοθέντι διεγείραντες, ἀλλὰ τοῖς αὐτοῦ λόγοις τε καὶ ῥήμασι κατ' αὐτοῦ ἠκοντίσαμεν. καὶ οἷα ὁ γενναῖος ἐνδομυχοῦν εἶχε καὶ διετήρει, τοῖς ἐκεῖ τότ' ἐμφανίσαμεν. τὰ γὰρ τῆς καρδίας κρύφια, παναγιώτατε δέσποτα, διὰ τῶν χειλέων καταλαμβάνεται, καὶ τὰ τοῦ νοὸς ἡ χεὶρ διὰ τοῦ καλάμου ἐκκυρύττει. ταῦτα πάντα τοιγαροῦν ἡ σὴ παναγιότης, διεξοδικώτερον θεάσοιτο ἐν ταῖς πρὸς αὐτὴν ἤδη πεμπομέναις αὐτοῦ γραφαῖς, καὶ ἂν μὲν καλῶς γε-

γέγονεν ἡ προσθήκη, καὶ πρεπόντως ἐπροσετέθη ἐν τῷ συμβόλῳ, σύμφωνα τῷ μαργουνίῳ ἡ σὴ σὺν τῇ ἱερᾷ συνόδῳ σοι συνομολογεῖ παναγιότης καὶ συνκυροῖ, γράψειας ἡμῖν ὅσον τάχος τοῦτο τὸ εὐαγγέλιον τοῖς τὴν τῆς ἐκκλησίας ἕνωσιν ὑπερφυῶς εἰ ἂν ἐπιθυμοῦσι ἰδεῖν ἂν δ' ἄλλος τα περὶ αὐτὴν ἐννοεῖν, τοὺς πλημπτοὺς περιστέλλειν τὸ φρόνημα ποίησον, καὶ μὴ ὀρθῶς ἀλλὰ παραλόγως αὐτοῖς ἐγράφη ἃ ἐγράφη, διάτε γραφῆς καὶ ζώσης φωνῆς ἐνέτειλε ἡμῖν δ' εὐχὴν καὶ εὐλογίαν τοῖς μὴ πεισθῆσι μέλεσι πεμψοιας. καὶ γὰρ τοῖς γνησίοις καὶ θερμωτάτοις τέκνοις ἑαυτῆς ξὺν θεῷ τῆς ἀνατολικῆς εἶναι ἐκκλησίας θαρρῦμεν ὑπὲρ ἧς καὶ πάλαι καὶ νῦν καὶ εἰς τὸν ἐσόμενον χρόνον, καὶ αὐτὸ τὸ ζῆν προτιθέναι ἀναμφιβόλως προαιρύμεθα. ἔρρωσο, παναγιώτατε δέσποτα, τοῦ σοῦ δούλου μνημόνευε γαβριὴλ ἐν ταῖς πρὸς τὸ θεῖον ἐντεύξεσιν, ἐξ ἐνετιῶν αφς σεπτεμβρίου ιε.

Δοῦλος τῆς σῆς παναγιότητος

Γαβριὴλ ὁ φιλαδελφείας.

Τοῦ αὐτοῦ.

ΤΟ' θεσμοὺς μὲν τηρεῖν ἀνάπης, ἔργα δὲ διαλύειν ἔχθρας ὑπὸ τῆς σῆς νουθετεῖσθαι

θαι ἡμᾶς παναγιότητος, ἐ δεσποτικὸν μόνον ἀλλὰ καὶ πατρικὸν τὸ ἐπίταγμα, παναγιώτατε δέσποτα. διὸ καὶ ἀπὸ πρώτης ἀφετηρίας ὡς λόγος, πεισθῆναι αὐτῷ ἔδει, καὶ ἔργῳ διανύσαι τὰ ἐντελόμενα, εἰ καὶ παρ' ἐμαυτῷ νὴ τὴν σοφίαν αὐτὴν, οὐδὲν σύνοιδα ὅσον τὰ κατ' ἐμὲ, κατὰ τοῦ νῦν ἐνδομιχῶνος κυθήρων. ὃς ἐπὶ τοσοῦτον ἀπαχθείας ἐλήλυθεν, ὡς καὶ συκοφάντας αὐτοῦ, καὶ μέχει τῆς σῆς παναγιώτητος ἀποφημίζων ἡμᾶς, οὐκ ἐπαύσατο. ἀγνώμων φανεὶς ὁ τάλας ἐκείνῳ ὑφ' οὗ πολλάκις ἐ λόγῳ τὰ μέγιστα εὐεργετήθη. ἐπεὶ δὲ ἀφορισμόν τινα οὐκ οἶδ' ὅπως ἀπολυθέντα τὸ τὰ πρὸς τὴν εἰρήνην παροτρῦνον προσεπέφερεν, ἣν ἄρ' ἀνάγκη τὰ πρὸς αὐτὴν ἀναβάλλεσθαι, μέχρις ἂν οἱ ἀδίκως τωόντι ὑπὸ τοῦ καλοῦ ἐπισκόπου διαβληθέντες ἑαυτοὺς μὲν ἀθώους καὶ ὀρθοῦ λόγου φύλακας, καὶ τῆς ἀληθείας ὑπερασπίστας, καὶ ὃ εἶπον κατ' αὐτοῦ ἐ συκοφαντικῶς ἀλλ' ἐλεγκτικῶς τε καὶ πανάληθῶς, παῤῥησίᾳ διαφημίσαντας, ἐξ ὧν ὁρμηθεὶς κατὰ γραικῶν καὶ λατίνων ὑποσχνεῖται ἀποδεῖξαι, τὴν λαβὴν λαβόντας, τοῖς ἐνταῦθ' ἅπασιν ἐναργῶς ἐμφανίσωσί τε καὶ ἀποδείξωσιν. οὐ γὰρ περὶ χαλκοῦ λέβητος ὁ ἀγὼν αὐτοῖς δέσποτα, ἀλλ' ὑπὲρ τῆς σοφῶν τιμῆς, ἣν οὐχ ἧττων οἱ νοῦν ἔχοντες αὐτῆς ἔχοι τῆς ζωῆς, τὸν δὲ μαργούνιον οὐ μόνον ὅτι κρατίζειν, εἰ καὶ ὁ λόγος οὐκ ἐπὶ παντὰ τῶν ἐκεῖσε, ἀλλὰ καὶ προσποιεῖσθαι μηδὲν νῦν εἰδέναι, ἅπερ προέγνω, καὶ

μὴ

μὴ θέλων ὁμολογεῖν ἃ γέγραφε. καίπερ ταῦτα ἐπίφερον ἦν τὸ χαρτίον, καὶ τοῦ γράψαντος καταβοᾶν τοῖς ὁρῶσι περιέχει δικαίαν. ταῦτα τοίνυν ἡ σὴ παναγιότης ἀκριβῶς σκεφθείη, ἐν ταῖς πρὸς αὐτὴν ἀντιγραφείσαις αὐτοῦ γραφαῖς, ὧν τὴν μὲν ἑλληνικῶς γραφεῖσαν σῶαν, τῆς δὲ ἰταλικῶς, τὸ μέρος π... οὗ

ἑρμηνεύσαντες ταύτῃ ἀποστέλλομεν, ἐξ ὧν κατὰ τῶν ἀθλίων γραικῶν, φησὶ τῇ δυστυχίας, ὅτι ἡ προσθήκη ἡ ἐν τῷ συμβόλῳ καλῶς γέγονε, καὶ ὅτι πρεπόντως προσετέθη καὶ ὅτι ἐδύναντο ταύτην πρὸς τεθηκέναι, τοῖς ἐνταῦθα γαληνοτάτοις τὸν καλὸν κἀγαθὸν μαργούνιον γνώσῃ, καθυποσχνούμενον ἀποδεῖξαι. πρὸς δὲ κἀμὲ προσβιάζονται, τῷ αὐτοῦ ὑπείκειν βουλήματι, τῷ τοῖς λατίνοις λέγειν τὴν ἀλήθειαν ἐμφανῆσαι, καὶ ἄλλα τινὰ ὑποκρινόμενον δολερῶς ταῦτα μέν εἰσι τῷ μαργουνίῳ ποιηθέντα, ἀφ' ὧν ἡμᾶς τὰς ἀφορμὰς λαβόντες, οὔτε τὰ τῶν λατίνων φρονεῖν ἐπὶ τῶν ἐκεῖσε καθαιρεθέντων ἐκαλέσαμεν, αὐτὸς κἂν τοῦτο νὴ τὴν ὄντως ἐνυπόστατον σοφίαν τοῦ πατρὸς αἴτιος ὤν. μὴ ὁμολογεῖν γὰρ τὸν κύριον ἔμπροσθε τῶν ἀνθρώπων ἡμᾶς αὐτοὺς διαβάλλεσθαι. ὅτι κατά τινος φρέρου μὴ πέμψειν, τὴν αὐτῷ γεγραμμένην γραφὴν, ὅτε γαστάλδος καὶ οἱ λοιποὶ τῶν ἀδελφῶν ἀδελφικῶς παραινοῦντες οὐκ ἐάσαμεν, τόν τε καιρὸν καὶ τὸν τόπον ἀποσκοποῦντες μὴ καταθυμὸν ἡμῶν εἶναι . . . τοίνυν, παναγιώ-

πατε δέσποτα, ὁ μαργούνιος ὑπ᾽ οὐδενὸς ἐσυκοφαντίσθη, αὐτὸς δὲ μᾶλλον τοὺς ἀνεύθυνους διέβαλε καὶ οὐ λήγει διασύρων, πλὴν ἄν, παναγιώτατε, σὺν τῇ παρ᾽ αὐτῇ ἱερᾷ συνόδῳ τῷ εἰρημένῳ φρονεῖ, καὶ καλῶς τὴν προσθήκην βεβαίαν ἔχειν, τὴν ὅπως δή ποτε προστεθηκυῖαν, ἄν τε τῷ ὁμοούσιον τὸν υἱὸν τῷ πνεύματι δηλῶσαι προσετέθη, ἄν τε τῷ αἴτιον καὶ τὸ αἰτιατὸν ἐμφανίσαι, γράψειας ἡμῖν ὅσον τάχος. καὶ τῷ μὲν τὰς ἀπείρας ὁμολογήσωμεν χάριτας. τὴν δὲ σὴν παναγιότητα, λίθον ἀκρογονιαῖς μετὰ χριστοῦ, ἥτε δόσις ἅπασα κἀγὼ, τοῖς ὑπὸ τὴν ὑφήλιον φανῶς ἀνακηρύττειν καὶ λαμπρῶς διαλαλεῖν οὐκ ἄν ποτε παυσώμεθα, καὶ τῶν μὲν τούτων ἅλις, ἐφιεμένως δὲ ἔχω μαθεῖν, εἰ μὲν ἡ σὴ παναγιότης τὴν περίσκεψιν μέλλει ποιῆσαι τῆς δισοῦ
καὶ τὰς ἁγίας αὐτῆς κατασπάζομαι χεῖρας, τοίνυν γράψον ἡμῖν τοῦτὶ τὸ εὐαγγέλιον, τοῖς ἐκμέσης καρδίας αὐτῆς ἰδεῖν προαιρουμένοις, ἔρρωσο, παναγιώτατέ μοι αὐθέντα δέσποτα, αφϛ´ σεπτεμβρίου ιβ´ ἐξ ἐνετιῶν τῆς σῆς παναγιότητος δοῦλος

Γαβριὴλ ὁ φιλαδελφείας.

Ὑπὲρ κὐξάμην ἂν τυχόντι, παναγιώτατε δέσποτα, κᾀμοὶ πτέρυγας περιστερᾶς δοθῆναι, καὶ πρός σὲ τὸν δεσπότην μου πεπασθήσομαι, καὶ μεθ᾽

μεθ' ὅσης τῆς αἰδοῦς καὶ τῆς εὐφροσύνης πρὸς πτύξασθαι τὰς ἁγίας σου χεῖρας, καὶ ἀπολαῦσαι τῆς τῶν ἠθῶν εὐκοσμίας, καὶ τῆς τοῦ φρονήματος μεγειότητος. παιδείαν γὰρ καὶ μάθησιν ὑπὸ τηλικούτων θείων ἀνδρῶν ἀσμένως κομίζειν καὶ λαμβάνειν, εἴπερ τις γίνομαι πρόθυμος, ἀλλ' ἐπεὶ δὴ τανῦν τοῦτ' ἐκτελῆσαι ἀδύνατον, τῷ βραχὺ τούτῳ γράμματι, δουλικῶς προσαγορεῦσαι τὴν ἱερὰν σου καὶ θείαν κεφαλὴν δεῖν ᾠήθην, τὸν πάντα πόνον ὑπὲρ τῆς τοῦ χριστοῦ ἐκκλησίας, ὥσπερ ἀθλητὴς γενναίως προσυπομείνασαν, καὶ θαυμαστὸν κλέος εἰς τὸν ἀεὶ χρόνον ἄφθαρτον ἀραμένην. τοιγαροῦν δεχθείης τοῦτ' ἀσμένως, καὶ ἡμῶν τῶν οὐδὲ ποτ' ἐπιλαθέσθαι οἰομένων, τῆς μακαρίας σου ψυχῆς ἀχαριστίας μὴ καταψήφειας. οὐ γὰρ ἀκαιρία τις ἢ δαίμων ὀλέθριος, τῆς εὐτυχίας ἡμῖν ταύτης ἐφθείνητε, τοῦ μὴ κἀμὲ δύνασθαι τοῖς ποθουμένοις σοι συναριθμεῖσθαι, καὶ συγκαταλέγεσθαι, ἀλλ' ἄγε θαῤῥῶν οὐδείς ἐστιν ὁ κωλύσων με, μὴ ἐλπίδας ἀνεφίκτους ἐλπίζειν, καὶ σχέδον ὅλως ἀπιστεῖν, τῆς σῆς ἥκιστα μετέχειν ἀνυπόπτου εὐνοίας, καὶ μὴ λίαν πρὸς ἡμᾶς φιλικῶς διακεῖσθαι τὴν σὴν παναγιώτητα, καὶ γὰρ εἰ καὶ ἀνιαροῖς ὁμιλεῖ, καὶ περιστάσεσι τῶν ἀλγεινῶν ἐνέτυχε. ἀλλὰ τὴν συνοῦσαν εὐγένειαν, καὶ τὴν συμφυεῖσαν ἀγαθότητα, οὐκ ἄν ποτε ἰσχύσειας ἀποβαλλεῖν ἀπελῆς.

Τοῦ

Τοῦ αὐτοῦ τοῦ οἰκουμενικοῦ πατριάρχου.

ΤΑ' μὲν ἡμέτερα, παναγιώτατε δέσποτα, μέχρι τοῦ δεῦρο σιγὴν εἶχε, καὶ ἐν ἐρεμίᾳ διῆγεν, ἐπίπερ οὐδεὶς ἦν ὁ κινῶν, ἢ σαλεύων αὐτὰ προαιρούμενος, τὰ δ' ἀπεντεῦθεν καὶ πάνυ μοι δοκεῖ ἀναγκαῖον, τὴν σὴν εἰδέναι παναγιότητα, ὅπως τ' ἔχει καὶ τίνι τρόπῳ διώκειται. τοιγαροῦν ἴσθι, παναγιώτατε δέσποτα, ὡς ὁ τῆς πρεσβυτέρας ῥώμης ἄκρος ἀρχιερερεὺς, τὰς ἐν τύπῳ ἁπάσας βίβλους τοῖς τὴν αὐτῶν φροντίδα ἔχουσι, καὶ ἐρευνᾶν αὐτὰς καὶ ἀνακαθαίρειν ἐξουσίαν ἔχουσι, μεθ' ὅσης τῆς αὐθεντίας ἐνετείλατο, ἀνακαθαίρειν καὶ διορθοῦν αὐτὰς ἐπιμελῶς. οἱ δὲ τῷ αὐτοῦ ἑτοίμως ὑπείκειν προστάγματι βουλόμενοι ἤρξαντο ἐρευνᾶν καὶ ἀνιχνεύειν τὰ περὶ αὐτὰς πάνυ ἐπιμελῶς. ἐλθόντες δὲ ἐπὶ τὸ βιβλίδιον τοῦ ξανθοπούλου ἐνέτυχον συναξαρίοις ἐν οἷς τότε περὶ ἀζύμων, καὶ περὶ τῶν ψυχῶν τῶν δικαίων καὶ ἁμαρτωλῶν ἰδόντες, τῆς ἐκκλησίας οὐ καλῶς ταῦτ' ἔφησαν ἔχειν, οὐ γὰρ τῇ ἀληθινῇ γνώμῃ συνᾴδει. διὸ τὰ μὲν δέονται σαφηνισμοῦ, τὰ δέ γε ἀναμφιβόλως ἀφανισμοῦ. τὴν γὰρ διὰ ἀζύμων θυσίαν οὐ τῆς δυτικῆς ἐκκλησίας μόνον διδάσκαλοι, ἀλλὰ καὶ τῆς ἀνατολικῆς ἁγίαν εἶναι καθομολογοῦσι, φασίν. ὅτι δὲ δῆλον τοῦτο, οὐδεὶς τοῖς πάλαι ἁγίοις καὶ διδασκάλοις λόγος περὶ τούτου ἦν. ὁ δὲ ξανθόπουλος ἰδιώτης ὤν, καὶ οὐδεμίαν ἐξουσίαν ἔχων, ἀλλὰ πά-

θει

θει κινηθεὶς τοῦτο τὸ σκάνδαλον τοῖς χριστιανοῖς ἐνέθηκε. καὶ τοῦτο μόνον, ἀλλὰ καὶ τὰς τῶν δικαίων ψυχὰς αἵ γε ὑπὸ πάντων μαρτυροῦνται ἐν οὐρανῷ εἶναι, καὶ τὴν δόξαν τοῦ θεοῦ καθαρῶς ἐποπτεύειν καθὸ ψυχαί, μέλλουσαι δὲ τελείαν ἀπολαβεῖν τὴν μακαριότητα σὺν τοῖς σώμασιν ἐν τῇ κοινῇ ἀναστάσει, μηδὲν ἄλλο ἔχειν αὐτὰς λέγειν, ἀλλ' ἢ τῇ ἐλπίδι μόνον χαίρειν. ὁμοίως δὲ καὶ τὰς τῶν ἁμαρτωλῶν ψυχὰς μηδὲν ἄλλο τι μωρίας εἶδος νῦν κεκτῆσθαι, ἀλλὰ τῇ τῶν δεινῶν προσδοκίᾳ λυπεῖσθαι. τούτων τοίνυν οὑτωσὶ ἐχόντων, τὸ μὲν περὶ τῶν ἀζύμων τό, αἰσχυνέσθωσαν λέγων οἱ τὴν θυσίαν ἄζυμον προσφέροντες, ἐξελεῖν ὅλως βούλονται, θελόντων ἡμῶν καὶ μὴ θελόντων. πρὸς δὲ καὶ τό, λέγων χριστιανῶν πάσχα ἐν τῷ πασχαλίῳ καὶ λέγειν αὐτό, ἢ κυριακὸν ἢ ἅγιον πάσχα. οὐ γάρ φασι θέμις λέγειν ὑμᾶς χριστιανῶν νῦν πάσχα μὴ σὺν ἡμῖν ἑορτάζειν βουλομένους. ἔδοξεν ἂν πάντως ὑμεῖς μόνοι χριστιανοί, καὶ οὐχὶ καὶ ἡμεῖς εἶναι τόδε, σαφηνῆσαι ἀναγκαῖόν φασι, τὸ περὶ τῶν ψυχῶν τῶν δικαίων καὶ ἁμαρτωλῶν. ὅτι μὲν τῶν δικαίων οὐ μόνον τῇ ἐλπίδι χαίρειν ἡ ἐκκλησία κηρύττει, ἀλλ' ὅτι καὶ τῆς ἀπολαύσεως μερικῶς μετέχειν αὐτὰς διαῤῥήδην ὁμολογεῖ. τὰς δέ, τῶν ἁμαρτωλῶν οὐ μόνον τῇ τῶν δεινῶν προσδοκίᾳ λυπεῖσθαι, ἀλλὰ καὶ νῦν μερικῶς τιμωρεῖσθαι. τοίνυν, παναγιώτατε δέσποτα, ὅσον τὸ κατ' ἐμέ, καὶ ἐν ὅσῳ ἡ ἡμετέρα φθάνει γνῶσις, οὐδέν μοι τούτων τῆς ὑ-

γιῇ διδασκαλίᾳ δοκεῖ ἐναντίον. τίς γάρ ἐστιν ἐκεῖνος, ὅς γε τολμήσειε εἰπεῖν, τὴν δι' ἀζύμου θυσίαν μὴ εἶναι, σῶμα χριστοῦ; τῆς αὐτῆς οὔσης ὕλης καὶ τοῦ αὐτοῦ εἴδους, ἐξ ὧν καὶ ὁ ἔνζυμος ἄρτος. τὸ γάρ μὴ διαφέρον κατά τε τὴν ὕλην, καὶ τὸ εἶδος, πάντως ὅμοιόν ἐστι τῷ ἐκ τῆς αὐτῆς ὕλης καὶ εἴδους πράγματι. τοίνυν καὶ ὁ ἄζυμος ἄρτος ὅμοιος τῷ ἐνζύμῳ. τίς δὲ τὰς ψυχὰς τῶν δικαίων, ἐν οὐρανῷ μὴ εἶναι ἀρνηθείη ποτέ; καὶ καθὸ ψυχαὶ τὴν δόξαν τοῦ θεοῦ ἱκανῶς μὴ ὁρᾶν. τίς δὲ τὰς τῶν ἀσεβῶν καὶ ἁμαρτωλῶν μὴ τιμωρᾶσθαι ἐν τῷ ᾅδῃ καθομολογήσει; τίς δὲ ὁ λέγων ἦν ὡς οὐ βέλτιόν ἐστι τὸ καλεῖσθαι τὸ πάσχα, ἅγιον πάσχα, ἢ χριστιανῶν; πᾶν γάρ τὸ ἅγιον πάντως καὶ χριστιανὸν, οὐ μὴν πᾶν τὸ χριστιανὸν καὶ ἅγιον. ἄρα βέλτιον τοῦ χριστιανῶν, τὸ ἅγιον λέγειν. τοίνυν ταῦτα πάντα πρὸς τὴν σὴν παναγιότητα, τοὺς γοῦν ὧδε κρατοῦντας καθικετεύσαντες ἐδεήθημεν, καὶ καιρὸν διορίας δοῦναι ἡμῖν προσαιτήσαμεν οἱ μεθ' ὅσης τῆς ἐφέσεως προσδοκῶμεν, τὴν τῶν εἰρημένων διόρθωσιν. κρεῖττον γάρ καὶ πολὺ βέλτιον καὶ τιμῆς ἄξιον καὶ μεγαλοπρεπείας, τὸ τὴν σὴν ἐξουσίαν ἀστικῶς, παναγιώτατε, τὰ ἡμέτερα διορθοῦν καὶ σκέπτεσθαι, καὶ κυβερνᾶν καὶ διοικεῖν, ἢ ἕτεροι καὶ ταῦτα ὑποσχομένων ἡμῖν ἐξελεῖν ὅσον γε δυνατόν. πᾶν τὸ καθ' ἡμῶν γραφὲν) μὴ δὸς γάρ φησιν ἑτέρῳ τὴν δόξαν μηδὲ τὰ συμφέροντά σοι, καὶ τὰ ἑξῆς. αἱ δὲ ἁγίαι σου εὐχαὶ ἔσωσαν ἡμῖν ἅπασι φυλακτήριον ἐν βίῳ παντί. Ἱε-

Ἱερεμίας ἐλέῳ θεοῦ ἀρχιεπίσκοπος κωνσταντινουπόλεως νέας ῥώμης καὶ οἰκουμενικὸς πατριάρχης.

Ἱερώτατε καὶ λογιώτατε μητροπολῖτα φιλαδελφείας ὑπέρτιμε καὶ ἔξαρχε πάσης λυδίας, ἐν ἁγίῳ πνεύματι ἀγαπητὲ ἀδελφὲ καὶ συλλειτουργὲ τῆς ἡμῶν μετριότητος, χάρις εἴη σοι τῇ ἱερότητι, καὶ εἰρήνη καὶ ἔλεος ἀπὸ θεοῦ παντοκράτορος. διὰ τοῦ παρόντος δηλοποιοῦμεν τῇ σῇ ἱερότητι, ὅτι πρὸ ὀλίγου καὶ αὖθις οἱ ἀπὸ τῆς ἐπαρχίας σου φιλαδελφείας κληρικοὶ ἱερεῖς καὶ ἄρχοντες, οἱ μὲν δι' ἀναφορᾶς ἐν ὑπογράφῳ, οἱ δὲ, σωματικῶς παραγενόμενοι, ἀνέφερον πρὸς τὴν ἡμῶν μετριότητα συνοδικῶς προκαθημένην ὅτι εἰ καὶ ἄχρι τοῦ παρόντος σιωπὴν ἦγον, καὶ τὴν τοσαύτην στέρησιν σοῦ τοῦ γνησίου ἀρχιερέως εἶχον καὶ ὑπέμενον, ἀλλ' οὖν πάντα φόβον ἀποτιναξάμενοι, ἠξίωσαν ἡμᾶς ἀπανελθεῖν σε τὸν γνήσιον αὐτῶν ἀρχιερέα, ἐπεὶ δὲ ἡ μετριότης ἡμῶν μετὰ καὶ τῆς καθευρεθήσης ἀρχιερατικῆς συνόδου, διεσκέψατο καὶ εἶδεν, ὅτι ἐὰν καὶ νῦν τὴν αἴτησιν ἀπορράπτου ἁμαρτάνει ἀλλοτρίαις ἁμαρτίαις καὶ ταῦτα τῶν θείων κανόνων ἐπαναγκαζόντων. ἡμᾶς μὲν, μὴ παραθεωρεῖν τὰς εὐλόγους αἰτήσεις, σὲ δὲ ἐπανελθεῖν πρὸς τὴν γνησίαν μητρόπολιν, τούτου χάριν γράφουσα ἀποφαίνεται, καὶ ἐν ἁγίῳ παρακελεύεται πνεύματι, ἵνα ἐξ ἀποφάσεως ἐντὸς διωρισμένου καιροῦ μηνῶν ἓξ ποιήσης ἓν τῶν

δύο

δύο τούτων, ἢ ἐπανέλθῃς πρὸς τὴν ἐπαρχίαν σου ἢ διὰ παραιτήσεως ἀποστῇς τῆς τοιαύτης μητροπόλεως, ὡς ἂν ἕτερος ἐκεῖσε ἀποκατασταθῇ ποιμὴν γνήσιος, εἰς τὸ φροντίζειν τῆς ψυχικῆς σωτηρίας τοῦ ἐκεῖσε χριστωνύμου λαοῦ γίνωσκε δὲ, ἐάνπερ ἕνα τούτων τῶν ἀνωτέρω οὐ τελείως, μέλλεις κατὰ νόμους τῶν ἱερῶν πατέρων, ὑποπετεῖν καθαιρέσει εὐλόγῳ καὶ δικαίῳ. ἵν' οὖν τοῦτο μὴ γένοιτο, ποίησον ὡς γράφομεν. ἡ δὲ τοῦ θεοῦ χάρις ἢ μετὰ τῆς σῆς ἱερότητος. μηνὶ νοεμβρίου μεσοῦντος δ'.

Ταπεινὸς μητροπολίτης κυζίκου δαμασκηνός.
Ὁ καισαρείας καππαδοκίας γρηγόριος.
Ἡρακλείας γερμανός.
Μητροπολίτης φιλιπποπόλεως.
Ὁ ἀδριανοῦ πόλεως κάλλιστος.
Ὁ προύσης νεόφυτος.
Τορνόβου διονύσιος.
Βαδίνης θεοφάνης.

Εἰς τὴν αὐτὴν ἀπόκρισις.

ΤΟ μὲν εἰς φιλαδέλφειαν παραγενέσθαι, παναγιώτατε δέσποτα, καὶ ἱερὰ τῶν ἀδελφῶν καὶ συλλειτουργῶν σύνοδος, ὅσον μοι ποθεινὸν, ὅσον μοι ἐράσμιον, καὶ τῶν ἁπάντων λυσιτελὲς καὶ σεβάσμιον, οὐχ ὡς τοῦ ἐπισκοπεύειν γλιχόμενος, ἀλλὰ τοῦ ἔργου αὐτοῦ, οὐ καὶ παῦ-

λος ἐκεῖνος ἐπιθυμεῖν ἡμᾶς ἀποκεχματίςως παρακελεύεται, τότε ὁ τυχὼν καὶ ἀμελῶν ἢ ἀμελήσων, οἴμοι οἵα καὶ ὅσος αὐτῷ ἡ τιμωρία, καὶ ἡ τοῦ κριτοῦ φρικτὴ ἀπόφασις ἐκείνη, ἡ τὸ αἷμα τῶν ψυχῶν ἐκείνων ζητοῦσα. τὸ δὲ με εἴργον, τοῦ μὴ κατασκοπόν μοι γένεσθαι τὸ ποθούμενον, καὶ τὸ ἤδη σοι ἐν χερσῷ ἐντελλόμενον, οὐ τῇ σῇ μόνον παναγιώτητι δῆλον, ἀλλὰ καὶ τοῖς τοῦ ὠκεάνου ἐπέκεινα. τοίνυν εἰ μὲν τὰ περὶ τὴν φιλαδέλφειαν, ἐς τόσον ἥκεν δυστυχίας τανῦν, ὡς καὶ προσέχους ποιμένος δεῖσθαί σοι τοῦ κοινοῦ ἡμῶν μετὰ θεὸν κηδεμῶνι, τὸ πᾶν ἀνατίθημι, καὶ ὃ ἂν λυσιτελὲς ὑπὲρ τῆς ἐκείνων γνοίης σωτηρίας, ἀναμφιβόλως οἷς οἶδας τρόποις διόρθωσον. ἡμεῖς δὲ τὸν ἐνταῦθα τοῦ κυρίου χριςώνυμον λαὸν, ὃν ἡ τὰ πάντα καλῶς διοικοῦσα πρόνοια, καὶ ἡ χριςιανικωτάτη καὶ γαληνοτάτη αὐθεντία τῶν βενετῶν ἡμῖν ἐνεχείρησε, παραμενῶμεν εὐαγγελικῶς διδάσκειν ὡς οἷόν τε, ἀποστολικῶς τε καὶ πατροπαραδότως νουθετεῖν, ἀρχιερατικῶς ποιμένειντε, καὶ εὐλογεῖν, μέχρι ἂν ἡ τῶν ὅλων αἰτία ἐπί τινα μεγαλυνιῶντα χῶρον μεταθέσῃ, ὅταν δὲ ἂν θ᾽ ἡμῶν ἄλλος φιλαδελφείας χειροτονηθῇ ἀρχιερεὺς, ἡμεῖς πρώτην αὐτῆς καλεῖσθαι, οὐκ ἂν ἐρυθριάσωμεν. σὺ δ᾽ αὐτὸς ὁ πρᾶος καὶ ἄκακος καὶ ὅσιος ποιμὴν ἡμῶν ἁγιαίνοις, εὐτυχείοις συνηδόμενος καὶ ἐς ἀεὶ πνευματικῶς ἀγαλλιώμενος, τῇ ἱερᾷ καὶ θείᾳ συνόδῳ σοι ἣν αἰδεσίμως προσαγορεύω, καὶ ὅλῃ ψυχῇ καὶ καρδίᾳ ἀδελφι-

φικῶς καὶ δουλικῶς κατασπάζομαι. ἐξ ἐνετιῶν, αφϛ' ἰανυαρίου ιβ'.

Δοῦλος τῆς παναγιότητος

Γαβριὴλ ὁ φιλαδελφείας.

Τοῦ αὐτοῦ γαβριὴλ φιλαδελφείας τῷ οἰκουμενικῷ πατριάρχῃ.

ΤΟ' μὲν τοῖς νόμοις ὑπείκειν, παναγιώτατε, ἔμφυτόν μοι ἐστὶ διηνεκῶς, καὶ οὐ τοῖς μὲν ὑποτάττεσθαι, τοὺς δ' ἀποβάλλεσθαι, ἀλλὰ τοῖς πᾶσιν ὡς οἷόν θ' ἕπεσθαι, καὶ τούτοις κλίνειν αὐχένα ξὺν θεῷ μεμάθηκα, τὸ δ' ἐς φιλαδελφείαν παραγενέσθαι καὶ τῶν ἐκεῖ φροντίζειν, τῶν ἀδυνάτων πρῶτον, ὡς τὴν τῶν ἐκείνων οὐδέποτ' ὑποσχόμην θεὸν μαρτύρομαι τὸν τὰς καρδίας ἐμβατεύοντα, καὶ τὴν σὴν παναγιότητα ἐπιλαβεῖν φροντίδα. οὐ γὰρ οὕτως ἀποβλητέος ἐγὼ εἰ καὶ τῶν ἁπάντων ἀνάξιος ἐμαυτὸν σύνοιδα, τῆς φιλαδελφείας ἀρχιερατεύειν, οὐκ εἰς ἐπισκοπὴν, ἀλλὰ κατάγε τὸ νῦν μή τε εἰς ἐφημερίαν, ἱκανὴν οὖσαν, τῷ δὴ μὴ ἔχειν τὴν τῶν ψυχῶν ἐκείνων φροντίδα, φιλαδελφείας προείρημαι κεκλῆσθαι, ἂν δέ γε νῦν ἐς τόσον τὰ ἐκ τῆς ἐκεῖ δυσδαιμονίας ὥς τε καὶ ποιμένος δεῖσθαι, εὔλογος ἡ σκέψις καὶ ἡ αἴτησις, ἂν μή τις ὑπὸ πέτραν σκορπιός τις ἐστὶ ὅθεν κατὰ δύ-

δεύτερον δὲ, μὴ ἐκεῖσε παραγενέσθαι δυνάμενος, τόν τε σεραφὶμ, καὶ τὸν νικηφόρον τὴν τῆς γεέννης σοφὴν φημι, οὓς τὴν σὴν παναγιότητα καὶ τῇ παρ' αὐτῇ συνόδῳ, οὐ ταῖς ψυχικαῖς, ἀλλὰ καὶ ταῖς τοῦ ποιναῖς καθ' ὑποβολαῖς ἡγέμην, δεδοικὼς τὴν συνοῦσαν αὐτοῖς πονηρὰν φυσὶν, καὶ διαβολικὴν θέλησιν. τοίνυν ἡ σὴ παναγιότης ἐχέτω τὸ ἐμὸν θέλημα, καὶ ὃν βούλη τῶν ἐκεῖ ἀρχιερατεύειν ἀπόστολον

ἣν ὁ κύριός μοι ἐδωρήσατο, καὶ τὸν ἐνταῦθα ὑπὲρ τὰς τέσσαρας χιλιάδας ὄντα λαὸν, ἐπ' ἄμβωνος τὰ τοῦ χριστοῦ διδάσκειν, ὅν μοι τὸ πνεῦμα τὸ ἅγιον ἐνχειρήσω, καὶ ἡ γαληνοτάτη αὕτη αὐθεντία καὶ χριστιανικωτάτη ἐβεβαίωσεν, μέχρις ἂν ὁ κύριος τὰ πάντα μοι δωρήσοι.

Γαβριὴλ φιλαδελφείας τοῦ ἐκ μονεμβασίας τοῦ σεβήρου πρὸς τὸν παναγιώτατον πατριάρχην κύριον ἱερεμίαν.

ΟΥ πρὸς δούλου πιστοῦ, παναγιώτατε δέσποτα, μὴ ὡς οἷόν τε δεικνύειν, ἣν πρὸς τὸν αὐτὸν δεσπότην, ἔχων διατελεῖ εὔνοιάν τε καὶ εὐπείθειαν, καὶ γράμμασιν τοὐλάχιστον, ἂν μὴ ἔργοις τὸν πρὸς αὐτὸν ἐξανάπτειν πόθον. τοιγαροῦν τοῦ χρυσοβέργου εὐθὺ κωνσταντίνου, ἀπάραι βουληθέντες, τὴν πρός σε τὸν μετὰ χριστὸν δεσπότην μου, καὶ πατέρα καὶ κύριον, ἀνεξάλειπτον ἡμῶν μνήμην, διὰ τοῦ παρόντος ἠγήσα-

σάμην ἐμφανίσαι· σὺν ἅμα δὲ καθικετεῦσαι, ἅντινος τῶν ὧδε χρήζῃ, δεσποτικῶς κελεύειν μὴ διαλείπειν ἡμᾶς· καὶ ταύτῃ μὲν οὕτως. τὰ δὲ περὶ τὸν πεξὸν Βοιβόνδα διεξοδικώτερον παρὰ τοῦ γραμματοφόρου μαθήσῃς, σὺ τοῖς ἐπισκόποις ἐς λόγους ἐλθών, καὶ τῷ χρυσοβέργῃ εὐχαριστῆσαι νουθετήσας, οὐδὲν ἤνυσα. ἀνδράσι γὰρ ὧν θεὸς ὁ χρυσοῦς, τί εὔλογον ἀδύνατον διαπράξεσθαι. ἐν Βενετίαις ᾳφςα σεπτεμβρίου .12

Τοῦ αὐτοῦ Φιλαδελφείας.

ΕΓὼ μὲν, παναγιώτατε δέσποτα, τὸ προσταχθέν σοι ἔργῳ καὶ λόγῳ ἀντί τινος ἀναβολῆς δεικνῦσα καὶ παντί που δῆλον. ἐκφωνεῖται γὰρ κἀνταῦθα τὸ πανέντιμον ὄνομά σου, καίπερ μὴ ὄντος σταυροπηγίου τοῦδε τοῦ εὐαγοῦς ναοῦ, μήτε εἴθισται πατριαρχῶν μνημονεύειν προσόντων ἄλλων ἀρχιερέων. τὸ περὶ ἐμοὶ πάλιν οὔτε ἐν πρώτοις οὔτε μὴν ἐν ὑστάτοις συγχωρηθήσεται ἀντὶ τῆς σῆς καλοκαγαθίας ἐπισκοπῆς τε καὶ ἐπιταγῆς, περί τε τῶν ἄλλων ὧν μοι ἐπιτάττεις, ὁ λοιπὸς συνομολογήσει μοι χρόνος· αἰσχρὸν γὰρ ἀμνημονείη τοσούτων καὶ τηλικούτων εὐεργεσιῶν ὧν αὐτὸς πέπονθα καὶ πάλιν εὐέλπις εἰμὴ παθεῖν θεοῦ διδόντος, ὃν τε μαρτύρομαι τῆς εὐόργου μου διαθέσεως τῆς πρὸς τὴν σὴν φιλανθρωπίαν, καὶ ὡς οὐκ ἂν ὅπας μοι βίος προσαρκέσειεν ἂν ἀξίως ἀνταμείψεσθαι

ὥστε τῶν ἀδυνάτων πάλιν ἐστὶν, τὸ κατηγορεῖν μου ἔργον ἀλαζονίας τε καὶ κατὰ τοσοῦτον πεφυσιοῦσθαί με, ὡς τὸ σὸν σιωπᾶσθαι, τὸ δ' ἐμὸν, ἐκφωνεῖσθαι ὄνομα ἐν ταῖς θείαις μυσταγωγίαις πεποιηκέναι με φασιν οἱ μύσαι τοῦ ψεύδους, οἱ τὰ πολλὰ ὑποβαλλόμενοί μοι ἐγκλήματα, ὡς βάσκανοι καὶ σκαιοὶ τὸν τρόπον βαβαὶ τῆς αὐτῶν μοχθηρίας, οἳ τυφλώττουσι καὶ τοὺς ἐμοὺ προηγησαμένους ἀεὶ μεμνημονευμένους ὑπὸ τῶν τῇδε γενέσθαι οὐ καταμαθεῖν ἠδύναντο, τόν τε Θεωνᾶν καὶ μητροφάνην τὸν ἔτι βιοῦντα φημι, καὶ μακάριον τὸν μονεμβασίας πάντας μακαρίους ἄνδρας. καὶ γὰρ οὗτοι οἱ μεγάλες τῷ ἔθει ἑπόμενοι τῷ ἀνέκαθεν ἑκάστῳ ἀρχιερεῖ ἐνταῦθα διάγοντι χαρίζονταί τε τὴν ἱερὰν τοῦ μνημοσύνου δωρέαν ἐκείνην, οὐ μὴν ὅτι βούλονται ὥσπερ ὑποπτευόμενοι καὶ τῷ τῆς ἐλευθερίας προνομίῳ ἐπαίροντα τῆς οὔσης ἐνταῦθα γραικῶν ἐκκλησίας, τὰ τε ἄλλα ἐάσω, πρὸς τὸ τοῦ ἀφορισμοῦ μόνον ἔγκλημα ἀπολογητέον ἡγοῦμαι εἰ μὲν τῷ ὄντι εὑρέθη τις ὑπὸ τῷ ἐπιτιμίῳ τοῦ ἀφορισμοῦ ἄνευ τινὸς εὐλόγου αἰτίας δέσμιος ὑπ' ἐμοῦ γεγονὼς τὸ ἔργον ἄξιον διαιτήσεως καὶ ποινῆς, καὶ πρέπον ἐστὶν ἀνταποδόσεως, εἰ δὲ καὶ πρὸς σωφρονισμὸν ἀχρειωμένων θηρίων μυρίων σκανδάλων ἀφορμὰς ὁσημέρα παρεισαγόντων, τί θαυμαστὸν, πάτερ παναγέστατε, εἰ ἐκωλύσαμεν τὰς ὁρμὰς τούτων τοῖς κανόσιν ἐξακολουθοῦντες. ἔξεστι γὰρ τῇ ἐκκλησίᾳ τὰ σαθρὰ καὶ σεσαπημένα ταύτης μέλη, μέχρι καρπῶν

πῶν ἀξίων τῆς μετανοίας πόῤῥω διείργειν; ἵνα μὴ πᾶν τὸ ποίμνιον τῇ αὐτῶν μιμήσει καταχράτοι. ἀφανισθῇ τῇ αὐτῶν νόσῳ ὑποπεσὼν καὶ ταῦτα λοιπὸν συνέλοντι φάναι ἔδοξε κἀμοὶ κεφαλαιωδῶς παραστῆσαι τῇ παναγιότητι τῇ ὑμετέρᾳ, ὅπως γνώσηταί με τῇ κουφότητι τοῦ τύφου μὴ ὑπεῤῥειδόμενον, ἀλλὰ τοῖς ἁγίοις κανόσιν οἷς ὑπηρετοῦμαι ἀπροσωπολήπτως ὡς ἡ σοφία τῆς ἡμετέρας θρησκείας ἐδίδαξεν. ὁ δὲ θεὸς καὶ ὁ κύριος ἡμῶν τὸ ἅγιόν σου σκῦνος φυλάξει ἐς λιπαρὸν γῆρας ὅπερ εὐχόμεθα, παναγιώτατε δέσποτα.

Τῷ σοφωτάτῳ μοι καὶ πανιερωτάτῳ κυρίῳ γαβριήλῳ μητροφάνης ὁ τῶν ἱερομονάχων οἰκτρὸς ἐν κυρίῳ χαίρειν.

ΜΑκρὸς διελήλυθε χρόνος μέχρι τῆς δεῦρο ἐξ ὅτου ἀπῆρα ἐνετίηθεν τὴν ἐνταῦθα ἀφικέσθαι γλιχόμενος, καὶ σὸν τίμιον γράμμα ἕως τοῦ νῦν μὴ δεξάμενος, καὶ γὰρ οὐ μικράν μοι ὠδίνην παρέχει τὸ τῆς σῆς ἐπιστολῆς ἐστερεῖσθαι, ἐγὼ δὲ ὡς οἶδε θεὸς οὐκ ἔληξα ὁσημέραι σοι γράφειν καὶ ἐπιστέλλειν, καίπερ πεπομφέναι σοι τὰ κατ' ἀξίαν διαπορούμενος. ἀλλ' οὖν καὶ τούτων μὴ εὐπορῶν οὐκ ἀπεναρκησα τοῖν χεροῖν γράψαι σοι αὖθις. τοιγαροῦν, φιλτάτη καὶ ἐρασμία μοι κορυφή, συγγνωθήμοι πανῦν ἀξιῶ, ὅτι μνήμης χάριν καὶ ἀπε-

 πε-

ποςολῆς ἄξιον εὑρεῖν τι καὶ πέμψαι σοι οὐχ εὑρήκαμεν, τοῦ χειμῶνος σφοδροῦ γε ἤδη ἐπικρατοῦντος. ἠβουλήθημεν δ' ὅμως εὑρεῖν καὶ ζητῆσαί τι ἐκ τῶν τῆς γῆς φυομένων ἅττα τυγχάνει σοι καταθύμια, καὶ τοῦ σκοποῦ οὐκ ἐπιτύχαιμεθα. καὶ γὰρ οὔπω ἀσπάραγγοι καὶ ἕτερ' ἄττα γῆθεν ἀνήχοντο πρὸς τὸ ἀποςαλκέναι τῇ σῇ λογιότητι. ἴσθ' οὖν φιλότης ὅτι ὁ ζωγράφος ὁ ἐκ κύπρου τοὔνομα γαβριῆλος βούλεται τὸ ἀγγελικὸν καὶ μονῆρες ἀμφιέσασθαι σχῆμα, καὶ τὸ χρῆμα καὶ πρᾶγμα τοῦ ἐγχειρήματος πνευματικῷ τρόπῳ μοι ἐκοινώσατο. ἐγὼ γε οὖν μὴ ποιῆσαί τι ἄξιον κρῖναι τῆς σῆς ἔκτος γνώμης τε καὶ κελεύσεως, ὡς τὸ δίκαιον ἀπαιτεῖ, ἀνήνεγκα τῇ σῇ σεμνοπρεπείᾳ τὸ δράματε καὶ γνωμάτευμα. πλὴν γε μετὰ ταύτης τῆς ὑποσχέσεως ὅτι ὑπισχνεῖται συνελθεῖν καὶ συναποδημῆσαί μοι εἰς τὸ ἁγιώνυμον ὄρος τοῦ ἄθω. σὺ δὲ, σοφώτατε δέσποτα, καὶ περὶ τούτου ἐκλιπαρῶ ἀντιγράψειάς μοι καὶ ἀντιπέμψειας. πρὸς τούτοις δὲ ἔσο γινώσκων, ὅτι ἐγευσάμην τοῦ οἴνου οὗπερ σοι γέγραφα πρὸ μικροῦ, καὶ δεδοκίμηκα τοῦτον εἰ πόσιμος εἴη γευςός τε, καὶ πότιμος, καὶ ἀρεςός μοι ἐφάνη. καὶ εἰ ἐφετόν σοι ὑπάρχει γράψον μοι, ἵνα σοι πέμψω ἐξ αὐτοῦ πέντε, ἢ ἓξ σέκια. ἔτι δὲ δηλώσαις ἀντιβολῶ τί ἀπεκατέςη περὶ τῶν ἐνεχύρων καὶ ἱερῶν σκευῶν. ὅτι οὐ μικρῶς περὶ τούτων μαθεῖν ἐφιέμεθα, καὶ ταῦτα μὲν οὕτως, σὺ δὲ, ἁγιώτατε δέσποτα, ἐῤῥωμένος εἰς ἐπιμήκιςον χρό-

νον διαβιώσης τῶν σοι καταθυμίων ἀπολαύων. ἅπαντας τοὺς περὶ τὴν σὴν λογιότητα προσυνῶς κατασπάζομαι. μουνιχιῶνος ἐκτῃ ἐπὶ δέκα, ἐκ πόλλας. ὁ νύμφος καταφιλεῖ τὰς αἰδεσίμους καὶ ἁγίας σου χεῖρας.

Τῷ σοφωτάτῳ καὶ πανιερωτάτῳ αὐθέντῃ καὶ δεσπότῃ κυρίῳ κυρίῳ γαβριήλῳ τῷ φιλαδελφείας σὺν τοῖς περὶ αὐτὸν, μητροφάνης ὁ τῶν ἐλαχίσων ἱερεμόναχος εὐπράττειν.

Ὀλίγων ἡμερῶν διελθουσῶν ἔφθημεν γεγραφότες τῇ σῇ λογιότητι, σοφώτατε δέσποτα, μετὰ τοῦ μισερ ἀνδρέου βονζάμου τὰ καθ' ἡμᾶς λέγω, τὰ περὶ τῆς ὑγίειας καὶ ἀνόδου ἡμῶν, πρὸς δὲ καὶ τὰ περὶ τοῦ οἴνου καὶ τῶν ἱερῶν ἀμφίων, μεθ' οὗ καίτινας λαυρακίσκου, εἴπερ πεπομφότες μικρᾶς γέτινος μνήμης ἕνεκα. σὺ δὲ, ἐλλογιμωτάτη καὶ ἱερὰ κεφαλὴ, σήμηνον ἡμῖν δι' ἐπισολῆς τίδ' ἂν καὶ περὶ τούτων ποιήσαιμεν. νῦν δὲ ὡς οἶδε θεὸς πρός γε τὸ παρὸν οὐχ εὑρήκαμεν ἀποςαλκέναι τί ὄψον θαλάττιον τῇ σῇ ἀξίᾳ φιλότητι. ἀξιοῦμεν δὲ τὴν πανιερώτατα ἵνα ποιήσης τοῦτο τὸ εὐεργέτημα, ὡς ποιεῖν εἴωθας πάντοτε. ὁ συμπλάσας μοι ἰωάννης, ὁ καὶ τἀργύρεια μυσικῶτινι ζόπῳ σοι παραδοὺς, ἀ' ἔφθασαν αὐτὸν κεκλοφέναι ἔφημοι ὅτι ἐμηνύθοι αὐτῷ παρά τινος κεφαλληναίου νοταρίου τῆς δίκης τοῦ

κρε-

κρεμονα᾽λλίου, τῇ δίκῃ γραφῆναι. ἡ σὴ δὲ λογιότης ἀκριβῶς πέμψας ἐρεύνησον πρὸς αὐτῆς τῆς μακαρίας καὶ ὀλβίας ψυχῆς σου εἰ ὄντως ἔχει τὸ πρᾶγμα ὅτι ἐς τὰ μάλιστα πίνεται ὁ ἀνήρ, καὶ εἰ οὕτως ἔχει ὡς ἐδηλώθη τ᾽ ἀνδρὶ, εἰ δύναιο τοὔνομα τ᾽ ἀνδρὸς τῆς γραφῆς ἐξελεῖν καὶ ἀπαλεῖψαι, ἀπάλειψον· εἰδ᾽ ἄλλως, διὰ γράμματος δήλωσον. καὶ ταῦτα μὲν οὕτως. σὺ δὲ ἐρρωμένος διαβιώης εἰς χρόνους πολλοὺς πολλῶν ὠφελείας ἕνεκα. μαρτίῳ α᾽ ἰσαμβου, ἐγεγράφη ἡ παροῦσα σπουδαίως.

Τῷ αἰδεσιμωτάτῳ φιλαδελφείας ἱππότῃ λινδάνος εὖ ἔχειν.

ΟΤι μὲν, οὐκ ἐκ ῥαθυμίας ἢ βραδίας, πρὸς τὸ σχεδάριον τῆς φιλοστόργου σου πρὸς ἐμὲ ψυχῆς ἀπόκρισις, ἀλλ᾽ ἐξ ἀμελείας γε θεραπαίνων, παντίπου δῆλον, καὶ γὰρ, ὀψὲ ποτέμοι πρὸς ἀνάγνωσιν τοῦτ᾽ αὐτὸ δεδώκασί μοι. ὅτι δὲ τηλικαύτην βίβλον νὴ τὴν ἱερὰν σου κεφαλὴν αὐτός γε οὐκ ἔκτημαι καὶ αὐταῖς ταῖς ἀληθείαις φανερὸν, ἐκ τῶν συνόντων μοι. τοιγαροῦν εἰκελδύσοιο ὑπισχνοῦν καὶ τὴν ὑπαγόρευσιν, καὶ γὰρ τὸ θρυλλούμενον ὡς τὰ τῶν φίλων κοινὰ, διὰ μνήμης ἔχειν τὰ ὁμολογηθέντα μοι ἑκατὸν ἐκτετυπωμένα ἐκκλησιαστικῶν κανόνων βιβλία μετὰ καὶ τοῦ ἐμοῦ ἀρχετύπου ἀντιβολῶ τὴν προσκυνετὴν σου τιμιώτητα, ἐπεὶ ἤκου-

κυςαίμοι τὸν χαλκοτύπον εὐθὺ τῶν κερκύρων κατὰ τάχος βούλεσθαι ἀναχθῆναι. ἐῤῥωμένως διαβιώης ἀρχιερέων καλωνί.

Ἀνδρέας λονδάνος ἱππότης γαβριήλῳ τῷ μοναχῷ εὐπράττειν.

Ο Μὲν ἀσκραῖος ποιητὴς, σεβασμία κεφαλὴ, φθονεῖσθαι τοὺς ἀοιδοὺς ἀπεφήνατο, σὺ δὲ ὅμως χαίρειν ἐάσας ταύτην τὴν γνώμην, ὡς εἰκὸς ἀνδρὶ σπουδαίῳ καὶ πεπαιδευμένῳ, ἄλλως τε, καὶ τοῦ θείου κάλλους καὶ ἔρωτος ἐνδεδιμένῳ, μὴ ὅτι φθονεῖν οὐκ οἶδας τοὺς ἀοιδοὺς, ἀλλὰ μᾶλλον τῷ λόγῳ ἐπαίρεις τοὺς ὑπὲρ αὐτῶν ἐπαίνους, ὡς αὐτὸς πεπείραμαι, τῶν σῶν ἀνθηρῶν λόγων τὸ ἐμμελὲς ἔναγχος κατατρυφήσας, εἰς ὑπερβάλλοντα τῶν ἐμῶν συνόντων ἀγαθῶν ὄγκον. φημὶ τὸ ὑπαγορευθέν μοι ὑπὸ σοῦ τοῦ ἐπαινοῦντος, μᾶλλον ἢ ἐπαινουμένου. ἐπανέρχονται οἱ ἔπαινοι γὰρ, πρός τε τοὺς ἐπαινοῦντας ἂν ἄγαν ἐπαινῶσιν. ἐγώ γε μὲν, ὅπερ ἐκ τῶν αὐτῶν σου λόγων διϊσχυρίζομαι, οὐκ ἂν ἀποσιωπήσαιμι. ἣν γὰρ τῶν ἑλληνικῶν λογων, ὥς φασιν, ἀκρωδακτύλῳ γεύσάμενος, καὶ γέγονα νῦν σοφώτερος, κατὰ τὸ σολομόντιον. καὶ δοὺς μικρὰς ἀφορμὰς τόκους ἐκομισάμην, ὥςε δεῖ δὲ, μεγίςας τὰς χάριτας ὁμολογεῖν σοι, μᾶλλον δὲ τῷ ὁδηγήσαντι τίσε θεῷ ἐκ προνοίας ἐνταῦθα εἶναι ὑπὸ τῶν

ὧδε

ὧδε νηπαζόντων, καὶ ἁπαλῆς τροφῆς ὑπὸ σοῦ δεομένων, ἄνδρα γεννάδα, καὶ ἐνάρετον ἐπιδαυρίτην, φύλακα τοῦ ἑαυτοῦ λογικοῦ καὶ βασιλικοῦ ποιμνίου, τῶόντι, ἐκ τοῦ λακωνικοῦ καὶ παλαιοτάτου γένους, οὐ τοῦ νῦν καλουμένου ῥωμαίου, σώφρονά τε, καὶ ἐπιεικῆ, καὶ μουσηγέτην. ἐῤῥωμένως διαβειώης, προστάττων ἀεὶ τὸ κατ' ἐμέ.

Hanc quidem Epiſtolam iis interſerere debuiſſem, quae annum MDLXXVII, quo Gabriel Epiſcopus ordinatus eſt, praecedunt; ſed neſcio quomodo diligentiam meam hoc effugerit.

Ἔπαινος οὐενετιῶν ὡς ἀπὸ προσώπου τοῦ κελτῶν βασιλέως.

Σκηπτοῦχος κελτῶν
Βασιλεὺς ὁρῶν
Ταν ἀδελφάδος
Βασιληΐδα.
Τόσον βληθεὶς ὃς
Οἶστρον, ὅσσον τὸ
Κύπριδος ἄρης.
Εἶπεν, ἐμοῖο
Πλῆθος πολίων
Ἐμ' ἀνικήτων.

Ἀλλ' ἄγε τοίνυν
Ποτ' ἴδον, οὔτε.
Μὲν εἰσόψεται.
Ἥλιος, ὢν
Πάντα ἐφορῶν.
Χ' ἵμερος μ' αἱρεῖ.
Δηρόντε μῆνα.
Κενεὸν τῇδε
Βραδύνειν, πλοῦ.
Λευκετίης τε.
Ὄφρυ-

Ὀφρυοέσσης
Ἡμετέρης, ὡς
Πραπίδεσσ' ἴδω.
Θαῦμά τε νοήσω
Πολυαστερέων.
Θαῦμα γὰρ, ὡς ρώξ
Ἀδελφάδος μὲν
Ἐμπέφρακται, καὶ
Τὰ τενάγεα
Πόῤῥω πȣ γαίης.
Θέμεθλ' ἄστεως.
Ἐνεάτων, καὶ
Τὸ παλίῤῥητον
Ἅλμαρ ὕδωρτε.
Δινάμενον ἐν
Ὥραισιν ῥηταῖς.
Ἴδεῖν εἴκελον
Τῷ ὀλβοίης, καὶ
Τὰ διοξεφῶν
Βενέτων καλὰ
Δώματ' ἄστροισιν
Γειτονέοντα
Τελόροφα, καὶ
Κούρȣς ὀλζώνȣς
Καλλικόμȣς τε
Γυναῖκας, ἢ τὰν
Ἐρώτων χάειν.
Ἀμιλλωμένας.
Τέλος.

Cuiuscumque opus hi versiculi sint, licet ex praecedenti Epistola *Londano* tribui possunt, facti quidem videntur occasione capta ex adventu Venetias *Henrici III. Valesii* Galliarum Regis. Quum enim e Sarmatia in Gallias contenderet, Venetiis transivit anno MDLXXIV.

Ἐκομισάμην τὰ παρὰ σȣ̃ πεμφθέντα μοι γράμματα, καὶ δὴ καὶ τὴν τȣ̃ ἐφεσίου ἐπισκόπȣ ἐπιστολήν. τῆς μὲν ȣ̃ν σπȣδῆς τε καὶ ἐπιμελείας ἣν ἐποιήσω, τȣ̃το μὲν ὥς τε μετὰ γραφῆναι, καὶ ἀκριβῶς διορθωθῆναι. τȣ̃το δὲ ὥς τε διαπεμφθῆναι τὴν ταχίστην, μεγάλην οἶδά-

δάσοι χάριν, τὸ δὲ μηδὲν ἐπεσταλκέναι περὶ τοῦ μισθοῦ, ὅπως τὸν μεταγράψαντα ἀμείψωμαι, τοῦτο θαυμάζω, πλὴν εἰ μὴ φιλόδωρος καὶ μεγαλόψυχος αὐτὸς ὤν, ταπεινὰ τὰ τῶν ἄλλων ἀποδεῖξαι, καὶ τὸ μέγιστον αὐτῶν ὑπερβαλεῖν φιλοτιμίαν. καὶ πῶς ὦ φίλη κεφαλὴ τοῦτο δίκαιον, ἢ πῶς τῶν τῆς φιλίας θεσμῶν ἐκ ἀλόγιον, τὸ μέσον αὐτὸ, καὶ τὴν ἰσότητα ὃ σῶζον, σήμαναι τοίνυν διαβραχέως τί πέμψας τῷ γραφεῖ, τοῦτ' τὸ χρέος ἐξαλείψω. ἐκείνῳ γὰρ οὐδ' εἰς τὸν ἅπαντα χρόνον ἐλπίζω ἐξαλείψειν. τὸ τῶν πρώτων λέγω καὶ τοιούτων ἐπαίνων οὓς κατὰ κεφαλῆς μοι κατέχεας ἐκ πηγῆς ἀενάου εὐγλωττίας νᾶμα χρυσοῦν ἀρσάμενος. ἔρρωσο, καὶ μὴ θαυμάσῃς τὸ ψυχρὸν τὸ τῆς ἐπιστολῆς ἐν τοσαύτῃ φρίκῃ καὶ χιόνι γραφείσης ἐκ φερραρίας μηνὸς γαμηλιῶνος δ' φθίνοντος, ἔτει τῷ ἀπὸ τῆς τοῦ σωτῆρος γεννήσεως, αφλά.

Ὁ κατὰ πάντα σὸς

Φραγγίσκος ὁ Δαπάρτος.

Cur heic hanc *Francisci Daporti* Epiſtolam inſeruerim, ne ipſe quidem rationem adferre poſſim, niſi quod poſt Epiſtolas quasdam *Gabrieli Severo* ſcriptas una cum aliis invenerim; ſed quum & iſtam publici iuris facere propoſuiſſem, parum refert an heic, vel alio loco, edatur, quum iam de meo auſu

ausu Lectores opportune monuerim. Ceterum in litteris *Daporti* annos signatos notis αφλα existimavi, quamquam tertiam numeri litteram non facile legerim, & forte non tam λ quam ν esse possit; sed aliquo modo legendum erat.

Γαβριὴλ ὁ φιλαδελφείας
Τῷ θείῳ ἀρχιερεῖ κυρίῳ Ἀρσενίῳ τῷ τορνόβου.

ΕΙ' καὶ τὴν ἀρχιερωσύνην σου ἥκιστα εἴδομεν, οὔ τε σοι συνομιλήσαμεν, καί τοι διαμελέτης τὸ δ' ἐκ τηλοῦ εἶχον, ἀλλ' οὐ διὰ τοῦτο οὐ διαλείπομεν, μὴ τὰ σὰ ὑπεραίρειν, καὶ διὰ τιμῆς ἄγειν ὅποι ἂν διατριβόντες ὦμεν. ἤκουσαι γὰρ αἱ ἡμῖν τῆς γεννέας σου ψυχῆς πρὸς τὸ ἀγαθὸν διαθέσεις, καὶ ὁ περὶ τὴν σοφίαν αὐτὴν βίος, καὶ ἡ τῶν ἀγαθῶν ἕξις, ἣν γε οὐ τὸ τῆς ἑώας μέρος μόνον, ἀλλὰ καὶ τὰ τῶν ἑσπερίων μετὰ πολλοῦ ἀεὶ τοῦ θαύματος, καὶ ὑπὲρ θαυμάζει τὰ μὲν πάντα, εἰ καί τις ἀνθηρίῳ χωρίῳ καταγωγὰς ἔχοντι καὶ τέρψεις ἐφημέρους οὐκ ἂν τοῦ σκοποῦ δοκεῖ μοι διαμάρτοι. τοίνυν διὰ τοῦ ψυχροῦ τοῦδε γράμματος ὅπερ ῥυθμὸς τῆς ἀμφοῖν φιλίας εἴγε ἀναγκαῖον αὕτη τῷ βίῳ, καὶ οὐκ ἄν τις ποτὲ ἄνευ φίλων ἕλοιτο ζῆν. τὰ λοιπὰ πάντα ἔχων ἀγαθὰ κατὰ τὸν φιλόσοφον, ἔτι δὲ πρῶτον αἴτιον καὶ σύνδεσμος ἀδιάλυτος ἔσεται. προσαγο-

ρεύ-

ρεύωσου τὴν θείαν καὶ ἱερὰν κεφαλὴν, τὴν ὄντως καὶ μόνην ἀρκοῦσαν τοῖς πάλαι θεοεικέλοις ποιητικώτερον φάναι, συνεξετάζεσθαι σοφοῖς τε ἀρχιερεῦσι καὶ ἐπιγήμοσι, ἀξιοῦντες ἱκετεύομεν φιλικῶς ἔχειν πρὸς ἡμᾶς καὶ εὐνοικῶς διακεῖσθαι. εἰ γὰρ καὶ τὸ διείργειν μέγα, ἀλλὰ τὴν ἐνέργειαν μόνον τῆς φιλίας, οὐ μέν γε καὶ αὐτὴν τὴν φιλίαν δύναται διαλύσαι. καὶ τῶν μὲν τούτων ἅλις, τὸν δὲ παρόντα μοναχὸν τὸν κύριον λαυρέντιον, τὸν ὑπό τινος τῶν ἀναγκαίων πρὸς ὑμᾶς ἤδη παραγενόμενον συνίστημί σοι τῷ ἀξιαγάθῳ ἀρχιερεῖ, δεχθείοις αὐτὸν ἀσμένως, καὶ ἐπικουρήσοις αὐτῷ, διά τε λόγου καὶ σκέπης τῆς σῆς πανιερώτητος, ἡμῖν δ' αὖθις κέλευε τὸ δυνάμενον καὶ εὕροις ἂν ἑτοίμως ὑπηρωτεῖν καὶ ὑπήκειν σοι, ἀρχιερέων ἄριστε.

Τῷ πανιερωτάτῳ μητροπολίτῃ φιλαδελφείας κυρίῳ γαβριὴλ, πέτρος ὁ ἀρκούδης, εὐπράττειν.

ἘΓώ σε, τιμιώτατε πάτερ, καὶ πρότερον δι' εὐφήμου μνήμης, καὶ θαύματος ἦγον, καὶ νῦν δὲ περιπλειόνος ποιεῖσθαί σε τὴν ἱερὰν καὶ τριπόθειτον κεφαλὴν ὁ ἡμέτερος λεόντιος αἴτιός μοι γέγονε, πάνυ γοῦν σαφῶς τὴν σὴν περὶ τὸν θεῖον ἀδολωτάτην σπουδὴν πυθόμενος ἔγνων. καὶ τὴν παρὰ θεοῦ σοι πίστιν ἀρχαίαν εἰλικρινῆ, πατρῴαν καὶ ἀκίβδηλον εἰσπνευθεῖσαν, μεθ' ὅσης εἰπεῖν χαρμονῆς τυγχάνω με-

μεμαθικῶς, καὶ ταῦτα ἐν τῷ νῦν χρόνῳ τοῦ γένους οὕτω δυστυχοῦντος, στασιάζοντος, καὶ ἑτεροδοξοῦντος. τοιγαροῦν ἐμακάρισάσε τῆς εὐτυχίας τῆς ὀρθῆς γνώμης ἐπῄνεσα, καὶ τοῖς γνησιωτάτοις τῶν παλαιῶν τῆς σοφῆς ἐπινοίας ἐνέκρινα. ἄλλοι μὲν οὖν ἄλλα περὶ ἄλλων λεγέτωσαν, σοὶ δ' ἅπαντα ὡς προτίσῳ καὶ μόνῳ πάντων μὲν κρατεῖν, περὶ πάντων δ' ἐμεναι παραχωρείτωσαν, ὁ σοφὸς τοῦ σοφωτέρου δεῖται καίσε ἐνοχλεῖ ὁ βουλεύομενος τὸν καθ' ὅμηρον συμφράδμωνα διώκων τὰ ἑαυτοῦ ἀνακοινοῦται. ὁ ἕλλην τὸν φιλέλληνα περιπτύσσεται. οἱ περὶ τὴν εὐσέβειαν τὸν φιλόχριστον ἀλογοῦσι. τὸν δίκαιον οἱ περὶ πολιτείαν ζωγραφοῦσιν. ὁ ἐνδεὴς τὸν φιλάνθρωπον τῆς χρείας μακαρίζει. ὁ ξένος αὐτόν σοι τὸν φίλιόν τε καὶ ξένιον ἐνορᾷ. κἂν τούτοις ἅπασιν ὁ θεόφρων τὸν ὀρθόφρονα ζηλωτὴν ἀποφαίνει. ῥάδιον γοῦν ἑρμηνεῦσαι νοῦν ἐπιστολῆς ὅτῳ πρόσεστι μᾶλλον τὸ καλῶς φρονεῖν τῶν ἄλλων.

Ἔρρωσο, ἀπὸ ῥώμης ποσειδεῶνος ὀγδόη ἱσταμένου.

Ἱεραρχοῦντος γρηγορίου τοῦ τεσσαρασκαιδεκάτου, ἀνδρὸς εὐγενοῦς, φιλανθρωποτάτου, καὶ ἀξιεπαινετάτου.

Γαβριὴλ τῆς φιλαδελφείας παχωμίῳ τῷ δοξάρᾳ.


ΚΑὶ διὰ τοῦτο μικρὸν δῶρον προσκυνοχότος σοι ἡμέτερον ἐπέμφθησοι γράμμα, εὐχαριστοῦντι μάλιστα τῇ σῇ σεμνοπρεπείᾳ, τῆς τε μνήμης καὶ τῆς διαθέσεως ἣν πρὸς ἡμᾶς ἔχων διατελεῖς. νῦν αὖθις οὐκ ὀκνῆσαί μοι ἔδοξε τὰ ἡμῶν ὡς εὖ ἔχει θεοῦ εὐδοκοῦντος δηλῶσαί σοι, καὶ μένειν σε τῇ πατρίδι μέχει τὸν ἥλιον ἐς κριὸν παραγενέσθαι. καὶ γὰρ σκόπος μοι πάντως τότε, εἰ μή τοι γε ἄλλο μοι ἐμποδὸν γενήσοιτο, ἢ αὐτὸν ἐμὲ ὡς ὑμᾶς ἢ αὐτόν σε πρὸς ὑμᾶς ἐλεύσεσθαι, τοίνυν ὕγειν(ε) ἡμῶν μνημονεύειν τῶν ποθούντων σε ὅλῃ ψυχῇ.

Τοῦ αὐτοῦ, διονυσίῳ τῷ σιμέωνι.

ΤΟ' μὲν τυχεῖν τῶν βιβλίων, θεία μοι κεφαλὴ διονύσιε, οὐ τῶν εὐπορωτάτων ἐστὶν ἤδη γερμανῶν γὰρ τούτων ἐπιμέλειαν ἐχόντων καὶ φροντίδα, οὓς οἱ τὰ τῆς ἐκκλησίας ἐνταῦθα διοικοῦντες, οὐ μόνον αὐτοὺς, ἀλλά γε καὶ ὁποιονοῦν ὑπεκείνων νεωστὶ πεποιημένον, καὶ διωρθωμένον ἀποτρόπαιον ἡγοῦνται, ὧν δὲ τύχομεν ταῦθ' ὡς ἔτυχεν ὠνήσαντες τῇ σῇ ἀποστέλλομεν σεμνοπρεπείᾳ, ἐξ ὧν τὰ τοῦ ἀριστοτέλους δυοκαίδεκα τῶν ἐνταῦθα καλουμένων λυβῶν ἐπριάμεθα, τὰ μὲν τοῦ στράβωνος τεσσαρασκαίδεκα,

κα,

κα, τὰ δέγε ἰωσήπου εἴκοσι καὶ ἕξ, καὶ τὰ τοῦ φίλωνος εἴκοσι τὰ μὲν βασιλείου καὶ γρηγορίου καὶ τῶν λοιπῶν γεγραμμένων σοι οὐ ῥᾴδιον εὑρεῖν, ἂν δέγε τούτοις ἐντύχοιμεν, οὐκ ἂν διαληψώμεθα ταῦθ' ἀσμένως ὠνήσασθαι, τὴν δὲ τῶν εἰρημένων βίβλων τιμὴν, ἀποδώσειας τῷ γαϊτιάνῳ.



ΕΠΙΣΤΟΛΑΙ ΔΙΑΦΟΡΩΝ.



Hanc primam Epiſtolam *Arſenii* eſſe Monembaſiae Archiepiſcopi non videtur dubitandum, cum ex argumento, quod tractat, tum ex eo quod aliis *Arſenii* Epiſtolis, una cum Epiſtolis *Maximi Margunii* in his *Deliciis* publici iuris factis, in Codice Manuſcripto ſuccedit, aetaſque eius *Arſenio* omnino congruit. Adde quod ſecunda harum Epiſtola *Arſenii* eſſe ex ipſa etiam indubitata ſubſcriptionis nota dignoſcitur, quae ſtatim hanc primam conſequitur. Sed & tertia Epiſtola, ut videtur, mutila, eidem *Arſenio* tribuenda eſt, prout vel ex ipſa materia elucet atque eminet; praeterquamquod tertia haec in MS. Codice ſecundam excipit & conſequitur. Cui ſcribantur hae tres Epiſtolae non indicatur in codice; ſed quasdam *Antonio Eparcho*, Corcyrenſi, viro litteratiſſimo, ſcriptas eſſe prope eſt ut adfirmem: verum hanc diſquiſitionem in aliud tempus lubenter omitto.

ΣΥ μὲν ταῖς τῶν ἑλλήνων ἀχθόμενος συμφοραῖς, ὁ τῦ γένυς τῶν ἑλλήνων ἐπιστημότατος καὶ τὺς λόγυς ἐκείνων ὁρῶν τὰ λοίσθια πνέοντας, μηδέπω καὶ τήμερον ἐκείνοις παύη συνάραθαι, καὶ ζητεῖν ὅθεν τἀκείνων ῥαίσει. καὶ τῦτό σε πρὸς τὸ γένος τῆς ἄκρας σύμβολον χέσεως.

στεως. ἐγὼ δὲ καὶ διὰ τὸ τῆς ἐκείνου βελτιώσεως, καὶ τῆς πρὸς τὰ καλὰ ἐπιδόσεως, ἐπιμελῶς τε ἅμα καὶ ἐπιπόνως με κήδεσθαι, τοῖς σοῖς ἴχνεσιν ὅση δύναμις ἐπακολουθοῦντα, δίκαιος ἂν εἴην παρὰ τῆς σῆς λογιότητος ὑπακούεσθαι, καὶ ταῦτ' ἐπειδὴ καὶ τὴν βυσσοδομουμένην ἐντὸς ἐπικουρίαν πρὸς τὴν τῶν λόγων ἐπίδοσιν, προενεγκεῖν εἰς προῦπτον ἐκεῖνα δεῖν. ὅπως ἂν διωνασαίης μᾶλλον πρὸς τὴν ἐκείνων ἀντίληψιν. τοιγάρτοι ἄμφω τὰ χρέη τοναίως ἀποτιννύντες, ἐγὼ μὲν τοῦ μνημονεύειν, καὶ ἀναμιμνήσκειν, μηδ' ὁπωσοῦν τοσύνολον λήξομεν. ἐπὶ λέοντος τοῦ ἄκρου ἀρχιερέως, αἴτιος ἐγένου τοῖς τῶν ἑλλήνων βουλομένοις μὲν, μὴ δυναμένοις δὲ τῇ πενίᾳ, τῆς περὶ τοὺς ἑλληνικοὺς λόγους σπουδῆς: πείσας τὸν ἀρχιποίμενα, γυμνάσιον ἐν ῥώμῃ ἀναδεῖξαι δύο καί δέκα μειρακίων ἑλληνικῶν, ὃ δὴ καὶ ἀνάδειξαι, σοῦ καταβάλλοντος τὰ σπέρματα, ὁ δὲ τὰ σπέρματα καταβαλὼν, ὥς ὁ καλός φησι ῥήτωρ, οὗτος τῶν φύντων αἴτιος. μέχρι μὲν οὖν ἐκεῖνος διετέλει τοῖς ζῶσι συναριθμέμενος, καὶ αὐτὸς παρὼν ἐτύγχανες, ὁ τὰ καλὰ σπέρματα τοῖς ἐκείνου ὑποσπείρων ὦσιν, ἐπίδοσις οὐ μετρία, τῷ γυμνασίῳ ἐγίγνετο· ἐποιχομένου δ' ἐκείνου, κακοδαιμονίᾳ τῇ ἡμετέρᾳ συναπέσβο καὶ τὸ γυμνάσιον. ἀλλ' ὦ θειότατε ὑπερείσασο καὶ αὖθις τοῦ γένους: ἐν σοὶ γὰρ μόνῳ τὸ τῶν ἑλλήνων γένος ἐξήρτηται. θέλησον τονῦν εἶναι κἂν τῇ ἑλλαδικοὺς λόγους ἀνθῆσθαι, ἤδη ἀπομαρανθέντας, μᾶλλον δὲ κατα-

παξηρανθέντας τὸ σύμπολον. ἔργον τέλεσον καὶ τὰ νῦν, τίμιόν τε καὶ εὐπρεπὲς, ἐμοί τε ἰδίᾳ καὶ παντὶ τῷ γένει κοινῶς χρησιμώτατον. εἰ γὰρ κλήμης ὁ τῆς ἐκκλησίας προστάτης, ἐπιβεβαιώσειε τὰ παρὰ τοῦ ἀρχιποίμενος λέοντος, ὑποσχεθέντα μοι καὶ συγχωρηθέντα, ἔχομεν καὶ αὖθις εὐεργεσίας οὐκ ἐλάττω τῆς προτέρας ἐκείνης, ἧς διὰ τῆς σῆς μεγαλοπρεπείας, ἐτύχομεν πρότερον. ἵνα δὲ γνῶς τὴν εὐεργεσίαν ἐκείνου τοῦ φιλέλληνος λέοντος, καὶ καλοῦ ἀρχιποίμενος, πέμπεταί σοι τὸ ἴσον τῆς ἱερᾶς ἐκείνου γραφῆς ἣν ἐπιδείξας τῷ ἄκρῳ ἀρχιερεῖ, καὶ γονυπετήσας ὡς ἀπὸ τοῦ γένους παντὸς, αἴτησον ἐπικυρωθῆναι καὶ παρὰ τῆς αὐτοῦ παναγιότητος, τὰ δόξαντα τῷ φιλτάτῳ αὐτοῦ ἀρχιποίμενι, καὶ τοῖς τῶν ἐπισκοπῶν, τῆς ἱερᾶς λέγω πίτνας καὶ τῆς χερρονήσου, προσατεύουσιν ἐπισκόποις τανῦν, μὴ παραχωρεῖν ἑτέροις τῶν ἑαυτῶν θρόνων. κατὰ δὴ πρότερον μανήλιος καὶ δαμόντης, τῷ ἐπισκόπῳ, φθονήσαντε πεποιήκατον, συγχωρῆσαι τὸ σύνολον. ἄγε τοίνυν ἀσμένως, καὶ προθύμως, βοήθησον. διὰ σοῦ γὰρ τὰ τῶν ἑλλήνων ἔνεστιν ἀναθῆλαι, σοῦ τῶν πραγμάτων ἐρρωμένως συναραμένου, καὶ δὸς τοῖς λόγοις ῥαῖσαι, ὁ τῶν λόγων πρύτανις. σοῦ γὰρ ἀνδρὸς τῆς ξυμμαχίας μετὰ θεὸν, τοξεύσομέν τ' οὐρανὸν καὶ ἐς τετρημένον πίθον ἀντλήσομεν. ἔρρωσο, ἐξ ἐνετιῶν, πυανεψιῶνος, πέμπτῃ ἐπὶ δέκα, τοῦ αφλα ἔτους ἀπὸ τῆς θεογονίας.

Οὐ

ΟΥ' χρὴ θαυμάζειν, ὦ ἀρχικῆς ἀρετῆς ἀψευδέστατον βασανιστήριον, εἰ οἱ πονηροὶ τοῖς ἀγαθοῖς ἐκπεπολέμωνται, καὶ οἱ ἀμαθεῖς τοῖς πεπαιδευμένοις. τοὐναντίον γὰρ ἂν ἦν θαυμαστὸν, εἰ οὕτω μὴ εἶχεν. εἰ γὰρ καὶ λίαν ἄτοπον δοκεῖ, καὶ οὔτε λόγῳ ῥητὸν οὔτε ἔργῳ φορητόν ἐστι τοῦτο. ἀλλ' ὅμως κατὰ λόγον γίγνεται. ἐναντιοῦται γὰρ τὸ σκότος τῷ φωτὶ, καὶ λησταί τοὺς λύχνους σβεννῦντες, ἐπὶ τὸ λῃστεύειν τρέπονται, ἔλεγχον γὰρ ἡγούμενοι τοῦ σφῶν βίου τὸν τρόπον ἐκείνων ἐκ ποδῶν αὐτοὺς ποιῆσαι πραγματεύονται. τοῦτο τοίνυν τῶν τῇ κακίᾳ προστιθεμένων τινὲς τυρρεύσαντες κατ' ἐμοῦ, συνεστήσαντό με τῷ ἡγεμόνι κακοήθως καὶ πονηρῶς, ὡς ποιεῖν γε εἰώθασιν, ὧ δὴ ζητήσαντί γε μαθεῖν, ὅτου χάριν τριάκοντα πρὸς τοὺς ἓξ χρυσίνους λαμβάνω παρὰ τῆς ἐκλαμπροτάτης αὐθεντίας ἡμῶν κατ' ἔτος γε σιτηρέσιον, τὰς αἰτίας ἀνήνεγκα γράμμασιν ἃς ἔξεστι καὶ σοὶ τῷ σοφωτάτῳ μαθεῖν, εἰ ἀρεστὸν φανείη τῇ σῇ μεγαλοπρεπείᾳ καὶ λογιότητι, οὐ μὴν, ἀλλὰ καὶ ἄλλας δύο γράφω πρὸς σὲ τὸν σοφώτατον καὶ ἀληθῆ διδάσκαλον. ἑπτὰ γὰρ καὶ μόνον ἐκείνῳ τῷ μεγαλοπρεπεῖ ἡγεμόνι πολλὰς ἔχων λέγειν ἀνέφερον ὅτι ἐξ ἁπαλῶν ὀνύχων, οὐχ ὅπως τῇ ἀρετῇ ἀλλὰ τῇ ἐκλαμπροτάτῃ αὐθεντίᾳ τῶν Βενετιῶν καθοσιωσάμην ἑαυτοὺς, καθάπερ μοι πάντες οἱ ἐμοὶ συμπολίται συμμαρτυρήσουσιν, ὅσοι τιμᾶν εἰώθασι τὴν ἀλή-

τῆς εἰωθείσης δεήσεως, ἐγὼ μὲν ἐκ ἀφέξομαι, φωνῆ δ' ὅμως ἐκ ἐντεταμένη τὴν εὐχὴν ἐσαῦθις προήσομαι, λίμῳ τότε δηλιμῷ πιεζόμενος.

Ἐῤῥωμένως διαβιώης πάντων ἕνεκεν

Ὁ μονεμβασίας ἀρσένιος.

ΜΕγίςη τῷ ὄντι καὶ ἀξιάγαςος, καὶ ἐπαίνε πέρα παντὸς, ἡ παρὰ τῶν μεγαλοπρεπεςάτων, καὶ ἐλευθεριωτάτων μεδικῶν, περὶ τὸ ἡμέτερον γένος κηδαιμονία, παναγιώτατε δέσποτα, καὶ ταύτην καὶ ἐξ ἄλλων ἴδοι τις ἂν, μάλιςα δὲ, ἐξ ὧν τὰς λόγυς, ὅσον τὸ καθ' ἑαυτὰς, τῶν ἑλλήνων ἐποίκιλαν, καὶ πολυανθεῖς τέτυς ἀπέδειξαν. ὁ γὰρ μεγαλοπρεπὴς ἐκεῖνος καὶ φιλέλλην καὶ μεγαλόνυς λαυρέντιος, τὸ ἄκρον τῆς τῶν φλωρεντίνων γερουσίας αὐτόν τε καὶ κλέος, εἰδὼς τὰς τῶν παλαίων ἐκείνων, καὶ μακαρίων βίβλυς ἀνδρῶν, ὧν οὐχ ὅτι γε οἱ καθ' ἡμᾶς, ἀλλὰ καὶ οἱ πολλῷ ἡμῶν πρότεροι, οὐδ' ἴσως ᾔδεσαν τὰ ὀνόματα, μὴ ὅτι γε τὰ συγγράμματα, τὰς μὲν, ὅποι γῆς τῷ χρόνῳ κρυβείσας, τὰς δ' ἡμιβρώτους σησὶ, καὶ κόνισι γενομένας, ἀναλώμασιν ἐκ εὐκαταφρονήτοις τοῖς ἑαυτῦ, ἀνεσώσατο ἐν φλωρεντίᾳ, διὰ τῦ σοφωτάτε λασκάρεως. τῶν μεδίκων δὲ τοῖς ἴχνεσιν ἐπακολεθῶν, μᾶλλον δὲ τῶν ἄλλων τῆς ὑμετέρας παναγιότητος ἰω-

ἰωάννης ματθαῖος ὁ γίβερτος, ὁ αἰδεσιμώτατος τῆς βερώνης ἐπίσκοπος, καὶ τῶν ἄλλων ἐπισκόπων ὁ ἐλευθεριώτατος, τὴν τοῦ χρυσορρήμονος ἰωάννου εἰς τὰς τοῦ θεσπεσίου παύλου ἐπιστολὰς ἑρμηνείαν,. κτῆμα δηλαδὴ ἀξιολογώτατον, παντὶ τῷ χριστωνύμῳ λαῷ, πνευματικῆς πανδαισίας προὔθετο, τράπεζαν, μηδεμιᾶς δαπάνης φεισάμενος ἣν εἴτις νὴ τὸν λόγιον πολυανθεῖ λειμῶνίγε ἀπεικάσειεν, οὐκ ἄποθεν πάντως τοῦ σκοποῦ τοξεύσειε. ὡς γὰρ ἐκεῖσε ῥοδωνιαὶ, καὶ κρινωνιαὶ, καὶ πολυειδῶν ἑτέρων ἄνθεων εὐωδία ἐκπνέει οὕτω κἀνταύθη ἀρετῶν ποικίλων διδασκαλία εὐωδιάζει. ὅθεν καὶ οἱ ἐν αὐτῇ εἰσιόντες, ἀνδρείας λόγους διδάσκονται. φρονήσεως, σωφροσύνης, ἀ[illegible]ς ταπεινώσεως, μεθόδους, πραότητος καὶ τῶν ἄλλων τῶν ὑποδιαιρουμένων ταῖς πρακτικαῖς ἀρεταῖς. καὶ ὅπως μὲν τοῖς δαίμοσι δεῖ πολεμεῖν. ὅπως δ' ἐνίστασθαι κατὰ τῶν παθῶν, οὐ λειμῶνι δὴ μόνῳ, ἀλλὰ καὶ ἰατρείῳ ἀκεσωδύνῳ ὁμοίωται, ἐν ᾧ, ὁ νόσῳ τρυχόμενος φοιτῶν, τὸ κατάλληλον δρέπεται φάρμακον, τοίνυν ὁ τῇ τοῦ ἐπιθυμητικοῦ φλεγμονῇ πυρακτούμενος, τὸ τῆς τοῦ βίου διατάξεως μνημοσύνης, τὴν ῥῶσιν τρυγεῖ, καὶ ἁπλῶς φάναι, τὸ πρόσφορον νοσήλιον φάρμακον ἑκάστου πάθους, ἐκ τῶν θειοτάτων συγγραμμάτων τοῦ παμμάκαρος ἰωάννου ἀρυόμεθα, ἃ τὸν ἀριθμὸν ὑπερβαίνουσι πᾶσαν γραφὴν ἑρμηνεύσας καταλέλοιπε τῇ τοῦ κυρίου ἐκκλησίᾳ. τινὲς γὰρ τῶν φιλοθέων μετὰ τὴν πρὸς κύριον ἐκδημίαν αὐτοῦ,

τοῦ,

τοῦ, τετρακισχιλίους ὀκτακοσίους συναγάγοντες λόγους ἐκ τῶν αὐτοῦ βιβλίων περὶ τῶν λοιπῶν ἠτονήκασιν. πᾶσα μὲν οὖν καὶ ἄλλη τούτοις μάκαρος τούτου γραφὴ, πλεῖστα ὀνείνησι τοὺς ἐμπόνως μετιόντας αὐτὴν, ἡ δὲ τῶν ἐπιστολῶν ἑρμηνεία τε καὶ διδασκαλία, εἴπερ τις ἄλλη τῶν ἑαυτοῦ, ὀρέγει παντοδαπὴν διδασκαλίαν, καὶ ψυχικὴν λυσιτέλειαν. ποταμὸς γὰρ βαθυδίνης πολλῷ μᾶλλον ἐν αὐτῇ ἀναδέδεικται. οὐ μικρὰ κατάγων ὡς ὁ πακτωλὸς πρὶν χρυσοῦ ψήγματα, ἀλλ' ὅλος χρυσὸς αὐτόχρημα ὢν, καὶ πλημμυρῶν ἀφθονῶς χρυσόρρειθρα νάματα, μᾶλλον δὲ τῆς τοῦ χρυσοῦ δίψης ἀπάγων, καὶ φιλαργυρίας σβεννύων τὸν καύσωνα, ἰδοὺ τοίνυν πᾶσιν ἐπέρρευσιν ἀκίνωτος ἔκβλυσις, ὕδωρ πηγάζουσα ζῶν, καὶ πρὸς σωτηρίαν τοὺς ἀρυομένους μετοχετεύουσα, καὶ γὰρ οὐπόσιν χορηγεῖ τάχιστα ὀλλυμένην, ἀλλ' ἀρρευσόντε καὶ αὔλον. τούτου οὖν δεῦτε χανδὸν ἀπορροφήσωμεν ἅπαντες. δεῦτε τούτου τῇ ἀπολαύσει, τὰ τῆς ψυχῆς παυώμεν αἰθητήρια, καὶ τὸν τῆς καρδίας φλογμὸν καταψύξωμεν. ὁ γὰρ τούτου τῷ ποταμῷ τὰ χείλη προσάπτων, ἀλεξητήριον πάθους εὑρίσκει παντὸς, καὶ σωτηρίας θηρᾶται τὸ ὁρμητήριον. ποῖον γὰρ ἀρετῆς εἶδος ἐν τούτῳ οὐ πελαγίζει; ποῖον δ' οὐ βρύει νοσήλειον φάρμακον; τὴν τοῦ παρακλήτου γὰρ χάριν ἐπιπασάμενος, τῇ ὑπὲρ ἄνθρωπον βιωτῇ, ἀρετῶν κατείληφε τὴν μισγάγγειαν, καὶ ποταμηδὸν ἐκκρουνίζει τῶν ψυχοτρόφων.

Τῷ

Τῷ εὐλαβεστάτῳ ἱερομονάχῳ, καὶ ὡς ἐν κυρίῳ ἀδελφῷ κυρίῳ γαβριήλῳ τῷ τρύφωνι νικόλαος ὁ μαρῖνος εὐπράττειν.

ΕΙ' καὶ μὴ εἰδώς σε τυγχάνω, ἀλλ' οὖν τεκμαίρομαί σε τοιοῦτον εἶναι, οἷόν τις τῶν φίλων, διά τινος πρὸς ἐμὲ γράμματος πρώην ὑπεζωγράφησεν. ἀρκεῖ τέ μοι, τὰ περὶ τῆς σῆς ἀρετῆς, καὶ τῶν σῶν ἀρίστων ἠθῶν δεδηλωμένα, καὶ χαίρομεν, οἶδε θεός, τοιούτῳ σοι ὄντι, πολλῷ δὲ μᾶλλον καὶ πρὸς τὸν ἐμὸν πατέρα φιλικῶς σε ἐγνωκὼς διακείμενον κατὰ ταῦτα γὰρ οἶμαι ἐκείνῳ κἀυτός σοι ἔσομαι, ἐπειδήπερ ἐκείνου ἐξήρτημαι. ταυτὶ γοῦν σοι διὰ βραχέων τῆς πρός σε μου εὐνοίας ἔστων τεκμήρια, ἐμοί γε γὰρ τὸ νῦν εἶναι μακροτέροις οὐκ ἔξεστι χρήσασθαι, σὺν θεῷ δ' εἰπεῖν ὅσον οὔπω αὐτός σε ἀφέξομαι, καὶ ὄμμασιν ἀκοῆς, ὥς φασι, πικροτέροις τυγχάνουσι ἰδών σε, περιπτύξομαί τε ἅμα καὶ τὰ μέγιστα εὐφρανθήσομαι.

Ἐρρωμένον σε ψυχήν τε καὶ σῶμα διαφυλάττοι ὁ κύριος. ἐκ παταβίου, ἑκατομβαιῶνος, ἕκτῃ ἐπὶ δέκα τοῦ αφοβ' ἔτους.

Πα-

Παναγιώτατέ μοι δέσποτα, καὶ οἰκουμενικὲ πατριάρχα.

Ἔννοιά μοι ἐγεγόνει τοῦ συγγράψαι με βίβλον μετὰ πάσης ἐπιμελείας καὶ σπουδῆς συντείνουσαν πρὸς ἕνωσιν ἀμφοτέρων ἐκκλησιῶν, δυτικῆς τε καὶ ἀνατολικῆς φημι, ἐπ' ὠφελείᾳ τοῦ ῥωμαίου γένους, ἀναγκαιοτάτην ἐσομένην γιγνώσκοντί μοι πρὸς ἐρίδων μάλιστα ἀνασπασμὸν καὶ ἐκρίζωσιν, καθεκάστην ἀναφυομένων κατὰ τῆς ἡμετέρας θρησκείας. καὶ γὰρ ὁ πολὺς ὄχλος διδασκόμενος ὑπὸ τῶν ἀμαθεστάτων ἐνθάδε κηρύκων τῆς κατὰ λατίνους ἐκκλησίας, πλημμελεῖν περὶ τὸ θεῖον τὴν καθ' ἡμῶν ὀρθόδοξον οἴεται ἐκκλησίαν πολλῶν ἕνεκεν, ἧς τὴν σὴν μακαριότητα θεοῦ προνοίᾳ ἐπαξίως ἐπιστατεῖν, καὶ τοὺς αὐτῆς οἴακας ἀρρήτῳ σοφίᾳ καθάπερ ὁλκάδος παμμεγέθους ἐπισταμένως, καὶ ὡς δεῖ ἀκοῇ ἴσμεν διιθύνειν πρὸς σωτηρίαν ποιμνίου τοῦ χριστωνύμου καὶ τῷ σῷ ἐναρέτῳ φρονήματι ἐμπεπιστευμένοι, ὥς τε ἐπικουρίᾳ τοῦ ἐνισχύοντός με τρισυποστάτου καὶ ἀπείρου τῶν ὅλων θεοῦ, πέρας ἐπιθῆναι οὐ μετὰ πολύ, χρηστὰς ἔχω τὰς ἐλπίδας, οὐ μὲν τοίγε ἄνευ τοῦ ἀναχεῖρας συνοδικοῦ καὶ τοῦδε ὑπὸ δεδεμένου τόμου ἐπὶ μαξίμου πατριάρχου, οὗ τὴν διαδοχὴν ὡς ἔοικεν ἐδόξω. οὗ τόμου πέρι οὐκ ἄλλως ἴσως γε ζητεῖν ἡγησάμην τὰ δοκοῦντα τῷ ὡς ἀληθῶς ὀρθοτομοῦντι τὸν ἀληθινὸν

λό-

λόγον, αἰδεσιμωτάτῳ φιλαδελφείας θεσπεσίῳ ἀρχιερεῖ, μεταβολῆς πάντα χρὴ ποιεῖν ὡς ὁ λόγος. ἔστι γὰρ δεινὸς ὁ ἀνὴρ τὰ τῆς καθ' ἡμᾶς θεοσεβείας τε καὶ ἀληθείας. καὶ ἕτοιμος ἀεὶ πρὸς ἀπολογίαν παντὶ τῷ αἰτοῦντι λόγον περὶ τῆς ἐν ἡμῖν ἐλπίδος, οὗ τὸ σῶφρον καὶ ἡ ἀγχίνοια, καὶ τὸ εὐγενὲς τῶν λόγων ὑπ' οὐδένος τῶν αὐτὸν εἰδότων καὶ μὴ τῶν φρενῶν κατενεχθέντων. ἄφρον, γὰρ ἡ σολομόντιος σοφία διακόνῳ χρήσεται, ὃς ἐρείδεται ἐπὶ ψεύδεσιν, μωμήσετ' ἄν. καὶ γὰρ οὐκ ἐξαγώνιον ὑπὲρ αὐτοῦ φάναι ἀφορμὴν τοῖς πᾶσιν δεδωκέναι τοῦ μεγάλας ὁμολογεῖν χάριτας τῇ θειοτάτῃ σου κεφαλῇ δωρησαμένῃ δῶρον ἡμῖν αὐτοῖς τιμαλφέστατον πρὸς πᾶν ἔργον, πνευματικόντε καὶ μὴ, οὐκ ἥκιστα δὲ ὅπου τύχης μεταβολαὶ, ἐκ δυσελπιδες, φέρουσιν ἄνω καὶ κάτω τὰ ἀνθρώπινα, ἐν ᾧ πολλὰ καὶ περὶ τῆς αὐτοῦ φιλοστόργου ψυχῆς δυναίμην εἰπεῖν, ἀλλ' ἐπάνειμι ὅθεν ἐξέβην τοῦ λόγου, τούτῳ λοιπὸν συμβόλῳ χρησαμένῳ ἀκούσαντο τὰ περὶ τούτο μου ὃς πρὸς τὸν δεσποτικόν σου παρώξυνε θρόνον, γνώμονα ἀποκαλῆσαι ἀρχιεπισκοπεῖον. οἶδε γάρ σε ποιμένα σοφίην τε καὶ σύνεσιν καλῶς ἐκφέροντα, ὥστε ἐκ μέσου μου τῆς καρδίας ἱκετηρίαν τὴν καθήκουσαν πρὸς μάθησιν ὑπαγορεύσαι καὶ κατανεῦσον μοι δεομένῳ κἂν τὸ κῦρος ἔχει ὁ τόμος, κἄντω οὗ λεξάτω μοι. οὐδὲν γὰρ ἄλλον ἐστὶν τόμος ἐκκλησιαστικὸς παρὸ, φῶς καὶ ὁδὸς ζωῆς. τοιγαροῦν πρὸς πληροφορίαν ἡμετέραν

ρων καὶ τῆς ὑμετέρας τοῦ ὄγκου ἀρχιερωσύνης καὶ ὀνόματος ἀξίωμα ἐπάκουον. ὁ δὲ κύριος διαφυλάττοι σου τὸ θεῖον σκῆνος εἰς μακρὸν γῆρας, πατὲρ ὁσιώτατε. ἐξ ἀντιῶν θαργηλιῶνος ά ἱσαμένου τοῦ αφοθ'.

Οἰκέτης τοῦ ὑμετέρου προσκυνητοῦ θρόνου ἱππότης τῆς τάξεως τοῦ ἁγίου στεφάνου καὶ τῆς βασιλικῆς ἐπιστήμης διδάσκαλος.

Ἀνδρέας λονδάνος.

ΑΙ'δεσιμώτατε πρωτοπάπα, καὶ ἔντιμε χωρεπίσκοπε χαίροις ἐν κυρίῳ. διὰ τῆς θείας δυνάμεως καὶ δι' εὐχῶν σου ὑγιαίνομεν. ὁμοίως δέ σε ὑγιαίνειν τὸν θεὸν ἱκετεύομεν. ὁ εὐλαβέσατος ἱερεὺς ὁ κύριος κωνσαντῖνος, καὶ σὸς γαμβρὸς, ἐλθὼν ἐνταῦθα οὐκ ἠδυνήθημεν ὅσα ἦν αὐτῷ εἰκὸς ποιῆσαι, τοῦ καιροῦ καὶ τῆς δυνάμεως ἡμῖν μὴ συγχωρούντων τοίνυν ὅπερ ἐδυνήθημεν οὐκ ὠκνήσαμεν ὑπὲρ αὐτοῦ διαπράξασθαι, καὶ ὃ εἰς ἔπειτα ἰσχύσαιμεν οὐκ ἂν διαλειψώμεθα ὑπὲρ τῆς σῆς ἀγάπης, καὶ τῆς αὐτοῦ ἀγαθῆς προαιρέσεως, ἀφθόνως διανῦσαι. τοίνυν συγγνώσθη ἡμῖν, καὶ κέλευε διηνεκῶς τοῖς ὡς υἱοῖς σου φιλτάτοις ὑπηρετεῖν καὶ δουλεύειν σοι πάντως προαιρουμένοις. ἔρρωσο.

Αἰ-

Αἰδεσιμώτατε καὶ ἐντιμώτατε πρωτοπαπᾶ ἡμέτερε καταπάντα, χάρις εἴησοι καὶ εἰρήνη καὶ ἔλεος παρὰ θεοῦ παντοκράτορος, καὶ κυρίου ἡμῶν ἰησοῦ χριστοῦ. εἰ καὶ χρόνου μῆκος παρῆλθεν καὶ οὐ τὴν σὴν ἐδόξαμεν ἀσπάζεσθαι ἁγιωσύνην, καὶ οἷα ἡμῖν συνέβη αὐτῇ δηλῶσαι, οὐχ ἡμῖν σε δεῖ τὸ αἴτιον, ἀλλὰ τῷ καιρῷ δοτέον. τῷ πολλάς μοι σχεδὸν προξενήσαντι ἐνοχλήσεις καὶ ταραχὰς, αἰτίῳ τεόντι τῶν ἰδίων ἀμνημονεῖν. ἡμῶν δὲ τὸν πόθον, καὶ οἵαν διάθεσιν προσέχοντες διατελοῦμεν, ὁποίαντε εἰς ἔπειτα παρ᾽ ἡμῶν λήψειας εἴ γε θεὸς δώσοι, καλοκαγαθίαν τῶν ἀδυνάτων γραφῇ παρεστῆσαίσοι. ὅθεν συγνωτέον ἡμῖν. περὶ δὲ τῶν ἡμῶν ὅπως τ᾽ ἔχει, τὰ πάντα τῷ σῷ τιμίῳ μαθήσῃ γαμβρῷ, ἡμῖν δὲ τοῖς δικαίοις τὰ περὶ τῆς ῥώσεως σου μαθεῖν ἐφιεμένοις, μηδ᾽ ἀλιπὲς ἀποστέλλειν, πρᾶγμα τῶόντι μέγα, τοῖς τῆς εὐνοίας ἀκιβδήλως κατέχειν πειρωμένοις. ἔρρωσο.

Hae duae ſuperiores Epiſtolae ſcriptae videnlur Protopapae Corcyrenſi. Corcyrae enim Paaeſul quidam Graecorum eſt, Protopapas adpellatus; Latinorum vero tantum Archiepiſcopus: ut ex Corcyrenſi *Marmorae* hiſtoria intelligere eſt.

Θεοφιλέστατε ἐπισκοπε γλυκέας, τὴν προσήκουσαν τιμὴν καὶ αἰδῶ ἀπονέμομεν

τῇ

τῇ θεοφιλίᾳ σου, εἰ καὶ μὴ τὴν σὺν τοῖς σωματικοῖς κατείδομεν ὀφθαλμοῖς θεοφιλίαν. τοίνυν διὰ τοῦ παρόντος ἡμετέρου γράμματος ἀξιοῦντες ἱκετεύομέν σε, τῇ ἐνούσῃ σοι πνευματικῇ δυνάμει, καὶ φρονήσει τελείᾳ, συνδραμεῖν καὶ βοηθῆσαι, τῷ προερχομένῳ σοι μοναχῷ σεραπίωνι. καὶ γὰρ αὐτὸν ἡμεῖς περί τινος ἀναγκαίας χρείας, καὶ πνευματικοῦ καὶ φιλοθέου ἔργου εἰς τὰ ὑμέτερα πέμπομεν, ἐξ οὗ τὰ πάντα μαθήσεις. βοήθησον οὖν αὐτῷ ἀδελφέ, ὅπως τέλος δώσῃ τῷ ἔργῳ, δι' οὗ τὴν σὴν παρακαλοῦμεν θεοφιλίαν, ἡμᾶς δὲ τὸ δυνατὸν ὅριζε, καὶ κέλευε τοὺς ἑτοίμως ἔχοντας ὑπηρετῆσαι καὶ ὁλοψύχως ὑπείκειν τῇ κατὰ πάντα ἀρίστῃ θεοφιλίᾳ σου. ἔρρωσο.

ΠΑνιερωτάτε μητροπολῖτα παρωνάξου ἡμετέρε ἀδελφὲ καὶ συλλειτουργέ, χαίροις ἐν κυρίῳ. πρὸς ἡμᾶς ἦλθεν γυνή τις κυάρα τοὔνομα, σὺν δάκρυσι καταβοῶσα τὴν ὅσην ἀδικίαν τε καὶ παρανομίαν ἔδειξεν πρὸς τὴν θυγατέραν αὐτῆς αἰκατερίναν ὁ γεώργιος τῆς λυκιανῆς. ἀραβωνισάμενος γὰρ αὐτὴν νομίμως καὶ κανονικῶς ὁ ἀλιτήριος ἤδη ἔτη δύο, ταύτην αἰάσας χωρίς τινος αἰτίας, εἰς τὴν αὐτοῦ πατρίδα τ' ἀπεδήμησε, ἐν ᾗ μέχρι τοῦ δεῦρο διατρίβων ἦν διόλου, καὶ οὐ δ' ἄλλως διαμνήμης ἔχων πρὸς τὴν αὐτοῦ ἐπανακάμψαι γυναῖκα, ἢ γράμματά τινι δοῦναι τὴν αἰτίαν τῆς βραδύτητος διασημαί-

 ναι.

ται. τοίνυν φροντισάτω ἡ σὴ ἀρχιερωσύνη, διάπερ ποιμὴν ἄριστος καὶ καλὸς, καὶ πεισαίτω τὸν εἰρημένον οἷς οἶδας τρόποις πρὸς τὴν αὐτοῦ ἐπανελθεῖν γυναῖκα, καὶ πέρας τὰ τοῦ γάμου λήψεται, εἰδ᾽ ἂν οὐ βούλεται, τὴν αἰτίαν ἡμῖν διδόμενός σου γράμματος δηλοποιήσοις, ὅπως τἀληθὲς φανερωθῇ, καὶ τὸ ἀδικοῦν μέρος κανονικῶς τε καὶ νομίμως παιδευθῇ, εἰς σωφροσύνην μὲν τῶν τοιαῦτα τολμώντων ποιεῖν, ἔπαινον δὲ καὶ μὴν τῶν καλῶς τοὺς θεσμοὺς τῶν θεοφόρων πατέρων κρατούντων καὶ τηρούντων.

Ἡμῶν ἐνταυθὶ καθεζομένων, καὶ ὡς οἷόν τε τὰ πρὸς τὴν χρείαν σωτηριωδῶς τῷ λαῷ τούτῳ ὑπηρετούντων, ἥκασιν ὅ, τε κύριος μιχαὴλ ὁ τζούκις ὁ τοῦ ἀνδρέου, καὶ μιχαὴλ τζούκις ὁ τοῦ νικολάου, καὶ ἀκριβῶς διῆλθον, τὴν ὅσην κατ᾽ αὐτῶν κατηγορίαν διήγειρε, ὁ ἐξ ἰουδαίων παμμίαρος ἐκεῖνος ὁ σολομὼν, δι᾽ ἧς ἑκάτεροι ἐνοχλοῦνται διὰ τὸ τῆς ὁμωνυμίας σημαινόμενον. ἡμεῖς δὲ ἐξακριβοῦν τὰ περὶ τὴν ὑπόθεσιν αὐτῶν, οὐκ ἰσχύσαντες διὰ τὸ ἀπορεῖν μαρτύρων τε καὶ ἀποδείξεων, ἔτι δὲ ἑτοίμως ἔχοντες αὐθὺ κρητῶν ἀποπλεύσας, τῇ σῇ πανιερότητι τὸ πᾶν ἀναθῆναι δεῖν ᾠήθημεν ἀγχίνῳ τε ὄντι καὶ φρονίμῳ, καὶ τὸ πᾶν δυναμένῳ ἀρίστως διαπαιράναι. τοιγαροῦν δεχθείοις τούτοὶ ἀσμένως, καὶ τοῖς πρότερον αὐτοὺς κριταῖς τὸ πᾶν προσεπιθείοις σὺν φόβῳ θεοῦ, καὶ βάρει

καὶ

καὶ τέλος τὸ προσῆκον θατέροιν τοῖν ἀνδροῖν παραχεῖεις, οἷα ποιμὴν καλὸς ἀρχιερέων ἄριστε.

ΕΙ καθεξῆς διελθεῖν ἐθελήσαιμι, οἷά μοι πράγμαθ' ὁ δαίμων προσενήνοχεν, θεία μοι κεφαλὴ, οὐκ ἄν μοι κατὰ τὸν ποιητὴν δέκα γλῶτται ἀρκέσωσι. καὶ γὰρ τῆς σῆς ἔξοτε διέστην συνουσίας, οὐδενὶ σχεδὸν τῶν λυσιτελῶν ἐνετύχομεν, νόσοι δὲ συνεχῶς, καὶ τὰ περὶ τὴν πενίαν ὡς θλιβόμεθα. ἵνα δὲ μὴ καὐτὸς κοινωνῶν δόξῃ τοῖς ἡμῶν (καὶ γὰρ κοινὰ τὰ τῶν φίλων) ταῦτά σοι τῷ τῆς ψυχῆς μου μέρει γέγραπται. οὐδὲν μᾶλλον γὰρ τῷ ὄντι σεαυτὸν λανθάνειν οἴομαι, ἢ πρὸς...ἀκίβδηλος διάθεσις. ὅθεν δ' ἴσθι, ἀρχιερεῦ ἐπιεικέστατε, ὡς οὐδὲν μέχρι τοῦ δεῦρο ὧν ἐφιέμεθα τυχεῖν δινυσάμεν. τὰ γὰρ τῶν ὧδε μακρά πως ὄντα διατελοῦσι. ἀλλ' εἰ μὲν τὸ πέρας ὑπὲρ τὴν ἀρχὴν. ἀσμένως γὰρ καὶ τῷ ὄντι ἑτοίμως οἱ κρατοῦντες ἐδέξαντο. λάβοιμεν, δ' ἐτυχήσαιμεν παμέγιστα, εἰ δ' ἂν τοὐναντίον, εἰ μή τις θεία ἡμῖν ἐπικουρήσει ἐνεργεία, τῷ τῆς δυστυχίας ἄκρῳ προσεγγίσαιμεν, καὶ ταῦτα μὲν ἅλις. σὺ δ' αὐτὸς τὰ τοῦ ῥώσεως ἀνάγγελον, καὶ πῶς τὰ ὑμῶν διοικεῖται. ἤκουσα μοι γὰρ τὰ περὶ τὸν κατακουζηνὸν, καὶ λίαν μου τὴν ψυχὴν ἤλγησε.

ΕΓὼ μὲν σοῦ τὴν παρουσίαν (τὸ γοῦν εἰπεῖν) ὑπέρ τινα ἄλλον ἐγλιχόμην ἰδεῖν, καὶ ταῦτ' ἐναλλοδαπῇ διατρίβων, ὡς τ' ἐντρυφῆσαί σου τῇ συνουσίᾳ καὶ ἀπολαῦσαι τῆς γνησίας καὶ εἰλικρινοῦς σου ἀγάπης, καὶ γὰρ οὐ λεληθέναι σε οἴομαι τὴν πρός σε μου διάθεσιν, καὶ τὴν ἐξάλειπτον μνήμην. ἀλλ' ἐπειδὴ ἐμποδὼν μοι καὶ τοῦτί, καὶ γὰρ σύνοιδα ἑτοίμως εἰ μὴ τὰ τῆς ἀσθενείας διεκωλύσαι, τὰ τοῦ πλοῦ σου εἶχον, ἐγένετο, καὶ ὧν ἐφιέμεθα ὑστέρησας, οὐχ ὡς ἔτυχε πῶς ὄντι ἐλύπησεν, ἡμᾶς, ἰάσατο δ' ὅμως ἡ τὸ δυσαχθὲς ἡμῶν ἡ τῶν γραμμάτων σου ἄφιξις, ἅπερ σχεδὸν πᾶν μου τὸ λυπηρὸν ἀφεῖλε. οὐκοῦν γράφε ἡμῖν συνεχέστερον, καὶ μὴ ἀποστερήσῃς ἡμᾶς τῆς συντυχίας τῆς σῆς. πολλῆς γὰρ εὐφροσύνης ἐμπλήσεις ἡμᾶς, καὶ μείζω ἡδονὴν τοῖς συνεχῶς λυπουμένοις παρέξεις, τὰ περὶ τῆς ὑγίας σου ἡμῖν ὁσημέραι διαγγελιζόμενος. ἔρρωσο.

Κατὰ τὰ ῥάσεα.

Recentiori manu Italice in fronte paginae scriptum est: *A un religioso della Chiesa di Zara*; sed perperam.

ΕΥλαβέστατε καὶ ἐντιμώτατε πρωτοπάπα κερκύρων, σὺν τοῖς εὐλαβεστάτοις ἱερεῦσι, καὶ ἅπασι τοῖς ἐν χριστῷ ἀδελφοῖς, χάρις εἴη ὑμῖν

ὑμῖν εἰρήνην καὶ ἔλεος ἀπὸ Θεοῦ παντοκράτορος. γνωςὸν ἔςω ὑμῖν ὡς ἱερομόναχός τις ἀθανάσιος τοὔνομα, τὸ γένος ῥασέας, διʼ ἐπιξοπῆς ἡμετέρας ἐφημερεύων ἦν, ἐν τῷ θείῳ τῷ ἐν τῇ τζάρᾳ ναῷ. ἐκεῖσε δὲ μωρῶς πῶς κυβερνηθεὶς, καὶ τῷ ἀρχιεπισκόπῳ ἀλόγως ἐναντιηθεὶς, γνώθης σὺ δὲ καὶ ὑμεῖς τὸν ἄνδρα, ἀπό τε τοῦ βαδίσματος καὶ τῆς προσφορᾶς) πρὸς ἡμᾶς φυγὰς ᾤχετο ἀπεδήμησεν, ἡμεῖς δὴ τὰ ἐκεῖ σκάνδαλα ὅπως δήποτοῦν βουληθέντες εἰρηνεῦσαι πρὸς τὸ κοινὸν συμφέρον ἀποσκοποῦντες, οὐκ οἶδʼ ὅπως ὀρισθεὶς τῶν ὧδε ἀπῆλθεν, μηδὲν ἡμῖν εἰπεῖν ἢ ὅλως προσφθέιξαθαι καταδεχθεὶς. ἢ γράμματος ἀπολυτικοῦ ὡς οἱ κανόνες οἱ θεῖοι καὶ τὸ ἔθος ἀπαιτεῖ τῆς ἐκκλησίας δεηθεὶς, τοιγαροῦν γράφοντες, ἐντελόμεθα ὑμῖν ἅπασι καὶ ἐν ἁγίῳ ἀποφαινόμεθα πνεύματι, μὴ εἰς κοινωνίαν τὸν μνημονευθέντα δεχθῆτε, ἢ λειτουργῆσαι ἀφίσητε, ἐπαργίᾳ καὶ ἀφωρισμῷ ἀλύτῳ.

Κατὰ τοῦ ἰωαννοῦ.

Ἐπειδὴ τοὺς πρὸς τὸ τῆς ἱερωσύνης ἀνελθεῖν βουλομένους ἀξίωμα, ἁγνοὺς εἶναι παρελάβομεν, καὶ σεμνῶς βιοῦν, καὶ ἑαυτοὺς βίῳ καθαρῷ καὶ ἀρεταῖς χεισῷ ἀρεσκούσαις κοσμεῖν ἐδιδάχθημεν, δέον τοίνυν ἡγησάμεθα εἶναι καὶ τὴν δοθεῖσαν ἡμῖν ἐξουσίαν παρὰ τοῦ

παναγιωτάτου καὶ οἰκουμενικοῦ πατριάρχου κυρίου ἱερεμίου, καὶ νεωστὶ πρὸς ἡμᾶς ἐλθόντα ἱερέα μοναχὸν ὄντα τὸ πρότερον, ἰωαννᾶ τοὔνομα, ἀκριβῶς ἐξετάσας αὐτὸν, εἴγε νομίμως τε καὶ κανονικῶς, ἐχειροτονήθη, καὶ ὡς οἱ θεῖοι κανόνες καὶ ἡ τῆς ἐκκλησίας συνήθεια ἀπαιτεῖ. καὶ γὰρ κύριος θεόφιλος ὁ φαρακλὸς ὁ ζακύνθιος, ἀρνητὴν αὐτὸν τοῦ χριστοῦ γεγονότα, καὶ ἀσέμνως καὶ ἀκολάστως βιοῦντα ἐν τῇ ζακύνθῳ ἡμῖν διεσείμανε, καὶ ὑφ' ἡμῶν δὶς ἐξωθεὶς τῆς πανευδαίμονος ταύτης πολέως, πολλῶν ὁσημέραι κατ' αὐτοῦ λεγόντων πρὸς ἡμᾶς ἐρχομένων. ὅθεν καὶ διαμαρτύριον τὰ κατ' αὐτοῦ εἴγε ἀληθῶς εἴη ἄξιον ὑπειλήφαμεν ἀνιχνεύσας & τῷ κοινῷ ἡμῶν πατρὶ τῷ ἄκρῳ φημὶ ἀρχιερεῖ κωνσταντίνου πόλεως τὸ πᾶν ἀνατιθέναι τὰ πάντα ἐπιεικῶς τε καὶ εὐκρίνως, κρίνειν ἐπισαμένῳ διὸ καὶ εἰς ἀσφάλειαν τῶν κατὰ τοῦ εἰρημένου ἰωαννᾶ λαληθέντων, αἱ ὑπογραφαὶ κατεστρώθη μαρτυρία.

Μελέτιος ἐλέῳ θεοῦ πάπας καὶ πατριάρχης μεγάλης πόλεως Ἀλεξανδρείας καὶ ἐπίτροπος τοῦ οἰκουμενικοῦ θρόνου.

Ἱερώτατε καὶ ἐλλογιμώτατε μητροπολῖτα φιλαδελφείας, ὑπέρτιμε, καὶ ἔξαρχε πάσης λυδίας, καὶ ἐπίτροπε καθολικοῦ πατριαρχικοῦ, ἐν ἁγίῳ πνεύματι ἀγαπητὲ ἀδελφὲ καὶ

συλ-

συλλειτεργὲ τῆς ἡμῶν μετριότητος. χάρις εἴη σε τῇ ἱερώτητι καὶ ἔλεος ἀπὸ Θεᾶ. ἀνηνέχθη ἡμῖν, ὅτι θανόντος πιέρε ζερβᾶ κυπρίε, πολλοὶ ἀφήρπασαν ἀπὸ τῶν ἐκείνε πραγμάτων, καὶ οὐ φανερᾶσι πρὸς τὸν κληρονόμον ἐκείνε. διὸ γράφομεν, ποῖοι τῶν χριστιανῶν ἀνδρῶν τε καὶ γυναικῶν ἀφήρπασαν τᾶ θανόντος,.... ῥοῦχα, καὶ λοιπὰ πράγματα ἀξιολόγε ἰσότητος ἐὰν μὴ φανερώσωσι πρὸς τὸν κληρονόμον ἐκείνε, ἀφωρισμένοι ἔςωσαν, καὶ κατηραμένοι καὶ ἀσυγχώρητοι, καὶ ἄλυτοι, ἕως ἂ φανερώσωσιν αὐτά. ὁμοίως καὶ οἱ γινώσκοντες τὰς λαβόντας καὶ μὴ φανηρᾶντες αὐτὰς, πνευματικῶς ὑπ' ἀφορισμὸν ἔςωσαν. ἕτω γένοιτο. ἡ δὲ τᾶ Θεᾶ χάρις εἴησε τῇ λογιώτητι, αφςὲ ἀπριλλίε. α ἱςαμένου.

Ο᾽ εὐτελὴς δᾶλός σε λογοθέτης ὁ υἱὸς τᾶ μεγαλᾶ λογοθέτε ὁ πρὸ ὀλίγε γράψας τὸ ἐπισκοπικὸν, προσκυνᾶ τὴν σὴν ἀκρὰν ἐλλογιμώτητα.



Ἀνωνύμου.

Quamquam Anonymi esse dicatur haec Epistola in Codice MS. tamen ipse *Dionysii Cateliani* esse crediderim, quod Cytherorum Episcopi sit, & per ea tempora *Dionysius Catelianus* eius insulae Antistes fuerit. Sed non hanc tantum Epistolam *Dionysio* illi tribuerim, verum etiam duas insequentes; attamen maturius id examinandum, adeoque ampliandum est.

Μελετίῳ τῷ ὁσιωτάτῳ καὶ σοφωτάτῳ ἱερομονάχῳ τῷ βλάστῳ υἱῷ ἐν κυρίῳ περιποθήτῳ, χάριν, ἔλεος καὶ εἰρήνην ἀπὸ θεοῦ σωτῆρος ἡμῶν καὶ κυρίου ἰησοῦ χριστοῦ.

ΕΙ' καὶ χρόνος συχνὸς ἐξ ὅτου διὰ γραμμάτων γοῦν οὐ συνεγενόμεθα καὶ συνελαλήσαμεν ἀλλήλοις, ὡς ἂν μὴ καταμαρανθὲν τὸ τῆς ἀγάπης καλὸν οἴχοιτο διὰ τῆς λήθης τῆς μακρᾶς, ἀλλ' οὐδὲν ἧττον ἡμεῖς ἐς μνήμην εἴχομεν τὴν σὴν τελειότητα καὶ μὴ γράφοντες, οἷοί ἐσμεν γράφοντες, τοιοῦτοι ἀεὶ καὶ μὴ γράφοντες, νυνί γ' ὅμως μικρὸν τῶν ὧν, εἴχομεν πραγμάτων καὶ περιπετειῶν ἀπαλλαγέντες, καὶ σχολῆς τῆς οἷας οὖν ἀπολαύσαντες, δεῖν εἶναι ᾠήθημεν προσειπεῖν σου τὴν ἐλλογιμότητα ὡς μὴ δοκοίημεν τῶν φίλων ἀμελεῖν ἤδη, ἐπὶ τὸ τῆς ἀρχιερωσύνης ἀξίωμα ἀναχθέντες οὐ γὰρ ἡμῖν τοῦτο καλὸν εἶναι ὑπείληπται ὥστε

σι

σι, τοὐναντίον δὲ μᾶλλον καθὰ τῇ ἀληθείᾳ δοκεῖ. καὶ ταῦτα ταύτῃ ἔχει. ἄλλο δέ τοι, κατὰ τὸν ποιητὴν, ἐρέω σὺ δ' ἐνὶ φρεσὶ βάλλεο σῇσι. σκοπὸς ἡμῖν εἰς τὴν τῶν κυθήρων ἐπαναζεύξειν ἦν, οὐ διὰ τὸ ἡμῖν αὐτοῖς συμφέρον μᾶλλον, ἢ τὸ τοῖς πᾶσι λυσιτελοῦν, ὡς τῷ θεῷ δῆλον, καὶ ἴσως ἀπέβη τὰ τῷ σκοπῷ κατάλληλα τέλη, εἰ μή τις τῶν σκαιῶν, καὶ φθόνῳ φίλων καθ' ἡμῶν ἀνασὰς, πρεσβὺς δ' οὗτος τῶν κεφαληνήτων, τὴν οἰκοδομὴν ἡμῶν ἅπασαν κατέστρεψεν ὁ κατάρατος, φάσκων μὴ εἰκὸς εἶναι, ἐπίσκοπον εἰς τὴν τῶν κυθήρων καθέζεσθαι, οὗ δὴ χάριν καὶ σοῦ τὴν φιλίαν νῦν αἰτούμενοι ὡς ἂν τῇ δικαιοσύνῃ βοηθείσειε, καὶ συνηγορήσειε τοῖς οἷς αὐτόσε πέμπομεν κεφαλαίοις, ἰσχύειν δὲ πολλὰ βουληθεῖσαν οἴδαμεν λόγοις τε καὶ ἔργοις φίλων οὖν ἔργον ποίησαι, φίλων περιπόθητε. εἰ δὲ γένοιτο ὅπερ ποθοῦμεν, τότε δὴ καὶ τὸ κοινῇ ξυνοῖσον φανεῖται, καὶ πολλοὶ κινδύνων χαλεπῶν ἀπαλλαγήσονται εἰς κεφαλληνίαν πορευόμενοι τὴν ἱερωσύνην ληψόμενοι, καθὰ δήπου πολλοῖς πολλάκις συνέβη, ὑπὸ τοῦ κοινοῦ δὴ συμφέροντες ποιουμένοις ἡμῖν τὸν ἀγῶνα, συναγωνισθῆναι, καὶ σοῦ τὴν ἀγάπην παροξύνομεν, ὅπου ἂν δεήσειε, καὶ ὅσον οὐ τοσοῦτον διὰ τὴν φιλίαν, ὅσον διὰ τὴν λυσιτέλειαν τοῖς πολλοῖς. ἐρρωμένην διαφυλάττοι ὁ κύριος τὴν σὴν ἱερὰν κεφαλὴν εἰς ἔτη πολλά. ͵αχθ΄.

Τῇ

Τῇ πολιτείᾳ πάσῃ.

ΟΙ' ἐν τῇ θεοφρουρήτῳ νήσῳ κυθηρεία, εὐλαβέστατοι ἱερεῖς, τιμιώτατοι καὶ εὐγενέστατοι ἄρχοντες, καὶ ἅπας ὁ τοῦ κυρίου χριστώνυμος λαὸς μετὰ γυναικῶν καὶ παιδίων, τέκνα ἐν κυρίῳ περιπόθητα τῆς ἡμῶν ταπεινότητος, χάρις εἴη ὑμῖν ἅπασιν εἰρήνη τε καὶ ἔλεος παρὰ τοῦ κυρίου καὶ θεοῦ καὶ σωτῆρος ἡμῶν ἰησοῦ χριστοῦ. ἡ ταπεινότης ἡμῶν εὔχεται καὶ εὐλογεῖ πάντας ἡμᾶς εὐλογίᾳ πνευματικῇ. παρακαλοῦσα τὸν κύριον ἡμῶν ἰησοῦν χριστὸν διαπαντὸς, ἵνα διαφυλάττῃ ὑμᾶς ἅπαντας ὑγιεῖς ψυχήν τε καὶ σώματα, ἀμήν. ἐπειδὴ ποιμένας ἡμᾶς τὸ πνεῦμα τὸ ἅγιον κατέστησεν ὥστε ποιμαίνειν ὑμᾶς καὶ ὁδηγεῖν εἰς τὰς τοῦ κυρίου ἐντολὰς, δι' ὧν εἰς τὸν τῆς χλόης τόπον, τῆς ἀκηράτου τροφῆς δηλαδὴ, καὶ εἰς τὸ ὕδωρ τῆς ἀναπαύσεως, τῆς ἀγαλλιάσεως τῆς βασιλείας τῶν οὐρανῶν δηλαδὴ κατασκηνοῦν, οὐ παυόμεθα τὸν δυνατὸν τρόπον παροξύνειν ὑμᾶς ἀπόντες ἤδη, ἕως ἂν δυνηθῶμεν ἐν τῇ χάριτι τοῦ κυρίου ἐλθεῖν πρὸς ὑμᾶς, καὶ ὀφθῆναι ὑμῖν, καὶ ἀπολαῦσαι τῆς ἡμετέρας ἀγάπης. πρῶτον οὖν γράφοντες παραγγέλλομεν ὑμῖν τὸ κεφάλαιον τῆς ὑμετέρας σωτηρίας φυλάττειν, καθ' ὡς καὶ ὁ κύριος ἡμῶν ἰησοῦς χριστὸς παραινεῖ, τὴν εἰς τὸν θεὸν ἀγάπην ἐξ ὅλης τῆς ψυχῆς, καὶ τῆς διανοίας, καὶ τῆς ἰσχυος εἰς τὸν πλη-

σίον

ρίον, ἐν ταύταις γὰρ ταῖς δυσὶν ἐντολαῖς ὅλον τὸν νόμον καὶ τοὺς προφήτας κρέμασθαι ἔφη ὁ κύριος· ὧν χωρὶς οὐδεὶς δύναται διαρεστῆσαι τῷ Θεῷ. πρώτην δὴ συνίαν καὶ μεγάλην, καὶ σωτηρίαν πρόξενον ταύτην τὴν ἐντολὴν, πρῶτον καὶ ἡμεῖς ὑμῖν φυλάττειν ἐντελλόμεθα, χρέος ἔχοντες διεγείρειν ὑμᾶς καὶ ὑπομιμνήσκειν τῶν πρὸς σωτηρίαν συντεινόντων. δεύτερον ἀπέχεσθαι τῶν αἰσχρῶν πράξεων, ἃς τὸ ἱερὸν κωλύει εὐαγγέλιον μὴ ποιεῖν τοὺς εἰς τὸν κύριον πιστεύοντας. τρίτον τῆς ὀρθῆς ὀρέγεσθαι πίστεως, καὶ τῶν ὀρθῶν δογμάτων, ἃ ἡ ἀνατολικὴ φυλάττει ἐκκλησία παρὰ τῶν ἁγίων παραλαβοῦσα πατέρων. τέταρτον εὐσεβεῖς τε καὶ εὐλαβεῖς εἶναι εἰς τὰ θεῖα τῆς ἐκκλησίας μυστήρια. θερμοὺς παρὰ τὸν τοῦ Θεοῦ πόθον. ἀόκνους πρὸς τὰ καλὰ ἔργα, σπουδαίους πρὸς τὴν εἰσέλευσιν τῆς ἐκκλησίας, ἀλλήλους πρὸς τὰ καλὰ ἔργα παρακινοῦντας, τοὺς ἀτάκτους νουθετοῦντες καὶ ὅσα Θεῷ φίλα καὶ εὐάρεστα πράττοντες. ταῦτα δὲ ποιοῦντας, δυνατὸν καὶ ῥάδιον τῆς αἰωνίου ἐπιτυχεῖν βασιλείας ἐν Χριστῷ Ἰησοῦ, οὗ ἡ χάρις μετὰ πάντων ὑμῶν.



Τῷ πανοσιωτάτῳ καὶ λογιωτάτῳ καθηγουμένῳ τοῦ ὁσίου πατέρος ἡμῶν ἀντωνίου τοῦ βροντισίου κυρίῳ λαυρεντίῳ τῷ μαρίνῳ ἀδελφῷ ἐν χριστῷ ἀγαπητῷ καὶ περιποθήτῳ τῆς ἡμῶν ταπεινότητος, χάριν, ἔλεος, εἰρήνην παρὰ τοῦ κυρίου καὶ θεοῦ καὶ σωτῆρος ἡμῶν ἰησοῦ χριστοῦ.

ΟΥ' δίκαιον δεῖν ἡμῖν κέκειται μὴ προσειπεῖν σου τὴν ἀγάπην ἐς τοῦτο τοῦ βαθμοῦ τῇ τοῦ θεοῦ χάριτι ἀναχθεῖσι, φίλων ἄριστε λαυρέντιε. οὕτω γὰρ ἂν ἠδικεῖτο φιλία καὶ οἱ ταύτης θεσμοὶ συνεπιδιδόναι οὐ σημειοῦσθαι ὀφείλουσα ταῖς τῶν ἀξιωμάτων ἀναβάσεσιν, εἰ καὶ ἄλλως τισὶν ὕψος μόνον οὐ χρυσοῦ φέριστε καὶ μεγίστης εἶναι δοκεῖ τἀξιώματα τοὐναντίον, ἢ προσῆκεν αὐτοῖς φρονοῦσιν. ἐπεὶ οὖν τοῦ θεοῦ τρόπον τινὰ ἡμᾶς συνωθήσαντος ἐς τοῦτο ἀνεβηβάθημεν, χαίρομεν πρὸς τὴν σὴν φιλοκαγαθίαν εὐχὴν καὶ εὐλογίαν ἡμῖν αὐτοῖς εἰκότα ποιεῖν ἡγούμενοι. οὐ γὰρ ἀλλήπου εὐμοιροῦμεν τέως ἐνταῦθα παροικοῦντες ὡς ἂν εἴποι τις, τῇ σῇ ἀγάπῃ πεπομφέναι ἢ τοῦτόγε. πρὸς δὲ τούτοις δῆλα τὰ ὑμῖν σύμβαντο τίθεμέν σου τῇ συνέσει ἐν βραχεῖ. ἥ μεν παρεσκευασμένοι τῇ τῶν κρατούντων βουλῇ καὶ ἐνδόσει, ἐπανιέναι εἰς τὴν ἣν ἐκληρώθημεν ἐπισκοπὴν τῶν κυθήρων ἐπισκεψάμενοι ὡς εἰκὸς τὴν ἡμετέραν ἐπαρχίαν ζήλῳ θείῳ κινούμενοι μᾶλλον, ἢ ἄλλῳ τινὶ τῶν παθῶν. ἐπεὶ δ' ὁ φθόνος ἐμπέπηγέ-

πως

πως τοῖς καλοῖς ἐμποδὼν καὶ ἡμῖν ἐγένετο, κεφαλαιώτου τινὰ προτέραν καθ' ἡμῶν ἀναστήσας, μὴ δεῖν λέγοντα ἐπίσκοπον εἰς κυθηρίαν εἶναι, ὡς δῆθεν ἄρχοντα τὸν κεφαληνίαν, καὶ οὕτως ἑτοίμως ἔχοντας ὑμᾶς ἐπανελθεῖν ἀνέκοψεν. διὸ ἀξιοῦμεν σου καὶ τὴν πανοσιότητα φίλου ἔργου ποιήσασθαι ἤδη εἴπου δεήσειε, καὶ τοῖς γραφθησομένοις κάτω κεφαλαίοις ἐς δύναμιν βοηθήσειν. οἴδαμεν γὰρ ὅτι ἰσχύεις αὐτόθι βουληθείς. τοῦτο γὰρ καὶ πρὸς τῆς πατρίδος ὑμῶν ἔσται, ὡς ἂν ῥᾷον ἔχειεν οἱ χειροτονηθησόμενοι εἰς τὴν τῶν κυθήρων ἀφικνεῖσθαι ἀκινδύνως, καὶ μὴ ἄλλως κινδυνεύειν, καθὼ πολλοὶ πολλάκις πολλοῖς ἐνέπεισον κακοῖς, μη οὖν ἀπολήσης τοιούτου ἔργου ὑπερασπίσασθαι τὸν ἐνόντα τρόπον. ἡ δὲ τοῦ θεοῦ χάρις ἔσται μετὰ τῆς σῆς λογιότητος, καὶ τῆς ὑπ' αὐτὴν συνοδίας.

Ἰάκωβος ἐλέῳ θεοῦ τῆς κωνσταντίνου πόλεως νέας ῥώμης ἀρχιεπίσκοπος οἰκουμενικὸς πατριάρχης.

Ε'Πειδὴ ἀνήνεγκεν ἡμῖν ὁ γεώργιος λίλλος ὡς ἔχων διαφορὰς μεταξὺ αὐτοῦ καὶ τοῦ ἰωάννου ἱερομνήμονος κ. τ. λ. ὡς ἔχων ὁ πάνυ ἱερομνήμων παρ' ἐν ᾧ τοῦ διατεταγμένου καὶ ὡς ἐδόμοσεν ἐν οἷς ὁ μαχομένῳ κ. τ. λ.

τούτου χάριν ἐδιέθη ἐφ' ἡμῖν καὶ γράφοντες εἰ οὕτως ἔχει ἀποφαινόμεθα συνοδικῶς κ. τ. λ. ἡ δ' ἄλ-

δ᾽ ἄλλως ποιήσῃ ἀφορισμένος ἔσω ἀπὸ τοῦ κυρίου παντοκράτορος, καὶ κατηρημένος, καὶ ἀσυγχώρητος, καὶ ἄλυτος μετὰ θάνατον, αἱ πέτραι καὶ ὁ σίδηρος κοπήσονται, αὐτὸς δὲ οὐδαμῶς κληρονομήσῃ τὸ λύτρον τοῦ ἰησοῦ, ἀλλὰ τὴν ἀγχοίαν τοῦ ἰούδου. χιθεῖσα ἡ γῆ καταπίοι αὐτὸν ὡς τὸν δάθαν καὶ ἀβείρων, καὶ εἴη στένων καὶ τρέμων ἐπὶ γῆ ὡς ὁ καὶν, καὶ προκόπην οὐ μὴ ἴδοι ἐπὶ ζωῆς αὐτοῦ, ἔχων καὶ τὰς ἀρὰς τῶν ἁγίων τριακοσίων δέκα καὶ ὀκτὼ θεοφόρων πατέρων τῶν ἐν νικαίᾳ, καὶ τῶν λοιπῶν ἁγίων συνόδων ἕως οὗ ὁμολογήσει τὴν ἀλήθειαν κ. τ. λ. καὶ τότε τύχῃ συγχωρήσεως.

Ἐν μηνὶ ἀπριλλίῳ ζ' ἱσαμένου
ἀπ᾽ οἰκονομίης αυ σώφρονος.

Haec Epistola *Jacobi* Patriarchae Constantinopolitani adeo male scripta est, ut fieri non potuerit, ut a me penitus legeretur; adeoque multis in locis corrupta est, nisi quod illa κ. τ. λ. in Epistola vere insunt, sed Latinorum more.

Ἀθανάσιος ἐλέῳ θεῷ μητροπολίτης ἀλεξανδρείας ἐπίτροπος καὶ ἔξαρχος πατριαρχικός.

ΠΑσι τοῖς ἀπανταχοῦ τοῦ ἱεροῦ καταλόγου καὶ πολιτικῆς ἀξίας καὶ τάξεως, χάριν καὶ ἔλεος εἴη παρὰ θεοῦ παντοκράτορος, εὐχὴ καὶ εὐλογία παρὰ τῆς ἡμῶν ταπεινότητος. Ἦν μὲν

ὅτε

ὅτε παρὰ ἱερατικοῖς ἡ βασιλεία, καὶ τὰ τῶν μοναχῶν ἦν συνακμάζοντα, ἡνίκα δ᾽ χαῖς μόναις ἐξῆν τοῖς τοιούτοις ἐκκεῖσθαί τε καὶ προσκεῖσθαι ἐν ἀφθονίᾳ τῶν ἀναγκαίων διαγωγήν, ἐξ ὅτε μέντοι ἀνόγεται ἐῤῥωμένως τοῖς ἑλληνικοῖς κακοῖς ἐκβακχεύσασα σκυθικῷ ζυγῷ τὰ τούτων ὑπέταξεν. ἔῤῥει (φεῦ) σὺν τῷ κράτει τῆς βασιλείας καὶ τὰ λοιπὰ ὅσα τύχης ἐπικρατία ἐμπιστεύεσθαι πέφυκεν. ἀλλ᾽ ἐπειδὴ θεία αἴσῃ τὰ τῆς ἑλλαδικῆς ἐλευθεριότητος ἑτέρωσε (οὗ σκῆπτρα χριστιανικῇ ἐπωνυμίᾳ καλήνεται) μετέβητε καὶ μετῴκεισαι. τούτου χάριν πᾶσι τοῖς ἀπορίᾳ σύτωσιν ἐκεῖσε προσφεύγειν ἐστί. τοιούτοις οἴδαμεν ἡμεῖς τοὺς διακομίσας τῶν παρόντων ὁσιώτατον ἐν ἱερομονάχοις κὺρ κωνστάντιον σὺν τῷ ὑποδιακόνῳ βενιαμὴν ἐκ τῆς σεβασμίας μονῆς τοῦ βατοπαιδίου τοῦ ἐν τῷ ἄθῳ. ὅθεν δι᾽ αὐτῶν τὴν ἐκείνων μόνην τῇ ὑμετέρᾳ κατὰ χριστὸν ἀγάπῃ συνίσαντες ὑποδοχῆς τῆς παρ᾽ ἄμφοιν καὶ ἐλεημοσύνης ἀφθόνου ἀξίους ἡγούμεθα δι᾽ ἧς αὐτῶν τε μὲν τῇ χρείᾳ θηραπεία ὑμῶν ἢ τῇ ἀρετῇ ἐπίδοσις περιγενήσεται. ἔῤῥωσθε.

Ἐνετίῃσιν. ἔτος τὸ αχλή μηνὸς ἰαννουαρίου ιβ´ ἰν. ζ.

Τῷ σοφωτάτῳ καὶ ἁγίῳ πρωτονοταρίῳ Συμεὼν εὐπρατηνῷ, κυρίῳ Θεοδοσίῳ.

Τεξάδα τοῦ Βυζαντίου ἐκπλεύσαντες, καὶ ἐν μὲν Ἡρακλείᾳ διημερεύσαντες μίαν, ἐν δὲ Λήμνῳ τρεῖς, κατευθὺ ἐς τὸ Ἁγιώνυμον τῶν ὀρέων εἰσήλθομεν, ὥστε διὰ τεττάρων ἐτελεσιουργήθη τὰ ἡμέτερα. καθ᾽ ὃν τόπον ἐθεασάμεθα ἄνδρας ἐν ἀρετῇ τοῖς πάλαι ἀσκήσασι ἐφάμιλλον ἔχοντας. ἐῶ τὰ τε τῶν κοινοβίων, καὶ τὰ βιβλία σὲ τὸν θεασάμενον διακρίνοντα, ἐν οἷς εἶδον μὴ ἐξελθόντα τινὰ τῆς ἑαυτοῦ κέλλης ἔτη ἓξ καὶ τριάκοντα, συνεχῶς τῇ πράξει καὶ θεωρίᾳ σχολάζοντα, εἶεν, περὶ δὲ τῆς σαυτοῦ κελεύσεως καὶ θελήσεως, ἤδη πεπλήρωται, γράψοις μοι καὶ αὐτός τινα ἐκ τῶν αὐτόθι πολλῶν, ἅπερ οἶσθα φιλοῦντί μοι.

Ἔρρωσο μετάγε τῶν σῶν πάντων, καὶ τοῦ φιλτάτου υἱοῦ κυρίου Φωτινοῦ. τὸν ἅγιον τὸν μέγαν ῥήτορα, τὸν ἅγιον τὸν δικαιοφύλακα, καὶ τὸν κύριον Ἀλέξανδρον, καὶ πάντας τοὺς φίλους ἀσπάζομαι. ὁμοίως καὶ ὁ ἅγιος ὁ καθηγούμενος τούτους ἀσπάζεται. εἴπερ ἔλθοι πόθεν γράμμα ἐξ ἐμοῦ φίλου ἡμέτερον, ἀντιβολῶ πέμψον μοι.

Μι-

Μιχαὴλ παρασάτης κυρίῳ γεωργίῳ τῷ κορινθίῳ κόμητι εὐπράττειν.

ΟΤι μὲν ἐβράδυνα γράψαι σοι τῇ φιλτάτῃ μοι κεφαλῇ, καὶ τὴν προσαχθῆσάν μοι παρὰ σοῦ ἐπιςολὴν τὴν πρὸς ἀνδρόνικον τοῦ σε κουδινοῦ ἐπισεῖλαι, ὁμολογῶ καὶ συγγνώμην αὐτῷ. πάντως δὲ οἶδ' ὅτι συγχωρήσεις μοι καὶ αὐτὸς, φύσεως τοιαύτης χρηςοτέρας, καὶ ἀρίςης λελοιχὼς τῆς περὶ λόγου ἀσκήσεως. τοῦτο δέ φημι ὅτι τοῖος ὢν οὐ μέμψημοι τῆς βραδύτητος, εἰδὼς με φροντίσι βιωτικαῖς καὶ θορύβοις ἐνοχλούμενον. ἅμα δὲ καὶ διὰ τὴν πρόσφατον εἶπε ἀκήκοας ἐπενεχθεῖσάν μοι παρὰ τῶν λῃςῶν ξυμφοράν. τὴν γὰρ ἐπ' ἀμβρακίαν φέρουσαν διαπερῶν, ἐχθίςοις φησὶ πειράταις ἔκποθεν ἀφράςου φανεῖσι περιέπεσον. πανθ' ὁμοῦ σεσυληκόσιν ἀνοικτὶ, ὅσ' ἐγώ τε καὶ οἱ συμπεπλευκότες ἐφέρομεν. ταῦτα τοίνυν εἴ γε πρὸς ἀπολίαν ἱκανὰ πιθέτε ὡς φιλότης καὶ οἷς οὐκ ἄλλο ἐμποδὼν μοι μέχρι τοῦδέ γε γράψαισοι. νῦν δὲ ὀψόποτε βραχείας ἀνέσεως ἐντυχὼν καὶ τῆς ἐχέτλης ἵν' οὕτως εἴπω τροπικῶς τοῦ ἀρότρου ἐπιλαβόμενος γεωργεῖν ἤδη τὸ τῆς ἡμετέρας φιλίας ἠρξάμην γεώργιον, γεώργιε φίλτατε, καὶ σπείρειν καρποὺς ἀγαθοὺς ἀφ' ὧν δ' ἐλπὶς εἰμι δρέψασθαι τὴν τῶν λόγων σου παγκαρπίαν. οὐ μόνον τὸ σῶμα ἀλλὰ, καὶ τὴν ψυχὴν καθηδύνουσάν τε καὶ τρέφουσαν. μόνην γὰρ τῷ ὄντι τροφὴν προσήκουσαν τοῖς ἀνθρώποις τοὺς

L λό-

λόγους τῖς ὀνομάσεις. οὔπω τοίνυν ἐγώ γε, φίλτατε, γνώμας ἔχω διατελῶν ἐπαινεῖν ἀεὶ καὶ ἐγκωμιάζειν τὰς περὶ ἀρετὴν μελέτας σου καὶ ἱδρῶτας πολλοὺς μηδέποτε ὀλιγωρήσειν. εἰ καὶ ἐνδεῶς ἐμαυτὸν ἔχειν πρὸς τοῦτο αἰσθάνομαι. δεῖν καὶ ἄλλως οἰόμενος ἐπαινεῖν μὲν τοὺς ἀγαθοὺς, τοὺς δὲ σκολιοὺς ψέγειν. οἵπερ διηνεκῶς ἀρδεύων τὴν ἄρουραν, ἀποδείξειν οἶμαί σ' οὐκ εἰς μακρὰν παντοδαπῶν λειμῶνα καρπῶν καὶ κῆπον ἀδώνιδος ταῖς τῶν λόγων σου ζωηραῖς καὶ φωτιστικαῖς ἀκτῖσι. ὅθεν ἐμοί γε πρώτῳ ὡς τῆς καλῆς ταύτης ἐργασίας προκατάρξαντι μεταλαβεῖν ἔξεσται καὶ τοὺς περὶ λόγους τῶν ἡμετέρων σπουδάζουσι μεταδοῦναι οὐκ ἔλαττον., ἔσται δὲ τοῦτο πῶς εἴγε τῶν ἀμοιβαίων ἀξιώσῃς ἡμᾶς γραμμάτων καθωραισμένων τῇ πολυτρόπῳ ποικιλίᾳ τοῦ ἡγειοῦς σου ἑλληνισμοῦ ἐφιεμένους τὰ μέγιστα καὶ ἰδεῖν ἐπιμελῶς καὶ προσπτύξασθαι εὐλαβῶς ὡς ἱερὸν ἀποκύημα ἀνδρὸς ἱεροῦ καὶ παντ' ἀρίστου καὶ τῶν ἱερῶν πιερίδων τροφίμου. τόγε γὰρ τό τε ἔσται ἡμῖν τὸν περὶ τοὺς λόγους σπουδήν σου ἀνακηρύττειν λαμπρότερον, οἷσι κλινὸν καὶ ἀρίδηλον τοῖς πᾶσι δεικνύουσι. νέων γὰρ μέριμναι σὺν πόνοις ἑλισσόμεναι κλέος κατὰ τὸν εἰπόντα εὑρίσκουσι λάμπει δὲ χρόνῳ ἔργον μετ' αἰθέρα λαμπεθέντα. ἀλλ' ὦ βέλτιστε, ἐν εὐμενίᾳ τὰς δ' ἐπιστολὰς ταύτας τὴν ἀκταίων ἡμῖν ἀντηχῶν ᾠδίῳ τῇ παναρμονίῳ λύρᾳ τῶν λόγων σου, εἴ σοι τὰ ἡμέτερα ἐν ἀριθμῷ καὶ οὐχ ὡς τὰ τῶν μεγάλων καθέσι-

κε. εὐτυχοίης, τὸν λογιώτατόν μοι καὶ χρηστὸν ἑρμοδώρον ὡς ἀπ' ἐμοῦ πρόσειπε, προσηρείσθω μοι καὶ ὁ κύριος ἀνδρόνικος εἴγε ὑπὸ ῥώμης ἀφίκετο. δὸς χάριν ἐμὴν καὶ τὴν ἑτέραν γραφὴν τῷ δαμιανῷ.

Κυρίῳ γεωργίῳ τῷ κορινθίῳ κόμητι, μιχαὴλ παρατάτης εὖ πράττειν.

ΠΡὸ μηνῶν ἤδη δύο ἐπεσταλκάσοι τὴν πρὸς ἀνδρόνικον τοῦ σεκουνδίνου ἐπιστολὴν μεθ' ἧς καὶ ἑτέραν ἐμὴν ἀπερισκέπτως ἐπεπόμφειν σοι. οὐκ ἐμαυτῷ τοσοῦτον θαῤῥήσας, ὅσον τῇ πρὸς ἡμᾶς σοῦ φιλικῇ διαθέσει. διακειμένῳ ὡς οἶδα καὶ σὺ περὶ τὴν τῶν λόγων ὀλιγώρως σχολὴν. καὶ διὰ τοῦτο πάνυ δυσκόλως περὶ τὰ σπουδαιότερα ἤπερ οἱ πλείονες οἴονται μ' ἔχειν. ὑφ' ὧν ἀκριβέστερόν μοι τὰ ξυντιθέμενα κἂν ὁποῖα εἰσιν ἐπεξείργαστο. ἐπεὶ δὲ οὕτω μοι τυρβάζοντι ἐν ἄλλαις τοῦ βίου φροντίσιν ὡς εἴρηται, ἢ οὕτωσὶ ἄπερ ἐν μερίμνων καὶ τὸ ἀεισοφάνειον ὑπὸ τῆς ἀνασκησίας. δεῖ γάρ με τ' ἀληθῆ φᾶναι οὕτω ξυντέθηται, σύγγνωθι, φίλτατε, φίλος ὢν καὶ φίλων ὁ χάριστος. δέον δὲ καὶ ἄλλως ἴν' εἴπω ἐσὶ πιθανώτερον, οὐ πρὸς τὸ τῶν δώρων εὐτελὲς εἰ παρ' εὐγνώμονός τι δωρεῖται, ἀλλὰ πρὸς τὰς εὐνοίας τῶν μηδὲν πλέον παρ' ὃ εἰσφέρουσιν, εὐεργετεῖν δυναμένων τὸν συνετὸν ἀφορᾷν. ὡσαύτως δὲ καὶ δίκαιος

 ὑπέρ-

ὑπάρχειν ἡγοῦμαι τοῖς λόγων μεταχοῦσιν οὐ πρὸς τὰ ἐπιςελλόμενα τὴν ἐξέτασιν ἀκριβῆ ποιεῖσθαι καὶ ἐρευνᾶν εἴπερ τι λέληθε τοὺς πέμποντας ἢ παρέδραμεν ἀχόλου ἐν ἄλλοις ὡς εἴρηται καὶ ταῦτα τυγχάνοντας καὶ εἰ κατὰ ῥύθμον ὑγιᾶ καὶ ἑλληνισμὸν ἢ ἀξίαν τῷ πρὸς ὃν πέμποντι οὐκ ἐξεπονήθησαν, ἀλλὰ πρὸς τὴν καλὴν τῶν ἐπιςελλόντων διάθεσιν καὶ ςοργήν. οὐ δὲ γὰρ οἱ ἐρῶντες τοῖς ξ θεμένοις τῶν λόγων κατὰ τέχνην καὶ τάξιν καὶ διαίρεσιν μᾶλλον, ἢ τοῖς τῶν ἐρωμένων ψελίσμασιν ἂν ὦσιν ἐνήδονται τῷ φιλικῷ νόμῳ ὑπείκοντες, οὗ καὶ ἡμᾶς ἀμοιρεῖν ἀδύνατον κατὰ τὸν τῆς φιλίας θεσμὸν πάνυ σαφῶς ὑπὸ τοῦ σοφοῦ πυθαγόρου ὁρισθέντος. ἀλλὰ σὺ μὲν ὅτι ἐπὶ τοῖς ἐμοῖς μᾶλλον ἢ ταῖς τῶν ἐξ ὑπὸ γῆς βλαςησάντων ἥσθηση ξ ωθήκαις, καὶ πάνθ' ὅσ' ἐλλὰς ἐμόγησεν αὐχούντων εἰδέναι σάφ' οἶδα πρὶν δέ τινα τούτων ταύτην κοινώσην βουλόμενος ἴσως τὴν ἣν ξέφομεν πρὸς ἀλλήλους ἐκείνοις γνωρῖσαι διάθεσιν, διόρθωσον εἴτι μεταύτην γράφοντ' ἅμα καὶ διεξιόντα παρέδραμε, ἵνα μὴ ἀφορμὴ τοῖς μεμψιμοίροις τούτοις, οἵδας οὓς φημὶ, καὶ περὶ ἔργοις περὶ τὰ ἀλλότρια μέμψεως καὶ τοῦ καθ' ἡμᾶς γέλωτος γένηται. ἀκονταί νους ἢ πῶς δοκεῖ περὶ τὰ ἴδια. μικρὸν τοίνυν χάριν ἐμὴν περὶ τῆς ἐκείνης πόνησον διόρθωσιν, ἵνα μὴ καὶ ἡμᾶς τῶν ἐλπίδων ἀςοχήσαντας, οὐ μικρῶς ζημιώσῃς. τὰς γὰρ ἐλπίδας ἀτυχούσας τοῦ τέλους ζη-

ζημίας ἔφησεν ὁ σοφιστὴς κρίνεσθαι, ἐφιεμένῳ δ' ἐπὶ μέγιστα δέξεσθαι τὴν παρὰ σοῦ ἀμοιβαίαν, ἐπιστεῖλαι μὴ κατοκνήσῃς. καὶ τὴν ἐπιστολὴν ταύτην δὸς τῷ πρέσβει τοῦ βασιλέως πρὸς φιλίην φίλτατε. ἔῤῥωσο ἀπὸ κερκύρας, μαρτίου εἰκοστὴν ἕκτην ἄγοντος.

Ἀνωνύμου ἀρχιέρεως.

Η' Μακρὰ τοῦ τόπου διάστασις, ἐνδοξώτατε ἄρχων κύριε ἀνδρεῖε γε καὶ πνεῦμα ἀγαπητὲ, πολλάμοι τὰ ἐγκλήματα, παρεισάγει. καὶ πρὸ πάντων ἐστὶ καὶ τόδε, τὸ, ἐπιλήσμονα ἴσως τῶν καλῶν φίλων γενέσθαιμε, ὅπερ ἀπεύχομαι. ἀλλ' εἰ καὶ τοῦτο δοθείη, φίλτατε, τυχὸν ἑτέροις, πολλοῦ καί γε δεῖ πρὸς τὴν σὴν ἐνδοξοτάτην. ὅς τις μοι καὶ λόγῳ καὶ ἔργῳ τὴν ἀληθῆ φιλίαν ἐφύλαξας, καὶ πολλοὺς τάχα τῆς κακίστης ἐκείνων ἀπέστησας ὁρμῆς οἷα παρὰ πολλῶν τοῦτ' ἐδιδάχθην, καὶ συνελὼν, ὅσον ἦν σοι τὸ κατὰ δύναμιν οὐκ ἔπαυσας ἀντιφέρεσθαι ὑπὲρ ἐμοῦ, ὡς ἔδοξεν. ἀλλ' ὅμως τ' ἀληθὲς ὑπὲρ τῆς εὐσεβείας αὐτῆς ἠγωνίσω, ὑπὲρ ἧς μισθαποδότην ἔχεις χριστὸν, τόσον, ὅσον οἱ ταύτης τοὐναντίον ἀντιφερόμενοι. καὶ γὰρ ἔχεις τοῦτο μαθεῖν καὶ παρ' ἄλλοις, ὅτι χριστιανοὶ μὲν ἴσως ἐλέγοντο, ἐνταῦθα δηλαδὴ τῇ ἡμετέρᾳ πολιτείᾳ τῶν θετταλῶν. ἀλλὰ τοῖς ἔργοις τῇ κλήσει ἦσαν πολέμιοι. τανῦν δὲ

Θεοῦ χάριτι, ἐρεθίζοντες τῇ κλήσει τῶν ἔργων γενέσθαι ὁμόδροποι, συνεργοῦντός μοι τοῦ θείου πρὸς τοῦτο διὰ παντός. ὧ πρῶτον εὐχαριστῶ σὺν αὐτοῖς, μεθ' οὗ δὲ καὶ σοὶ τῷ συναγωνίζω τῶν καλῶν καὶ ἣν τοῖς γείτοσι τῶν ἄλλων πόλεων ἡ ἡμετέρα ἐπίζηλος, ἐν ταῖς πρὸς τῶν καλῶν ἔργων εὐποιίαις, καὶ ταῖς ἐκκλησιαστικαῖς τύπων συνάξεσιν, ὧν ὅση μετὰ θεοῦ καὶ ἡ σὴ ἐνδοξότης αἰτία τοῦ καλοῦ, τοῦ μὴ σκορπισθῆναι τὸ λογικὸν τοῦ χριστοῦ ποίμνιον. μὴ δὲ τῷ νοητῷ ἐδοθῆναι αὖθις λύκῳ εἰς βορὰν ἀπρεπεῖ καὶ ἀνήλεον. ἀλλὰ τί ταῦτα τοῖς λόγοις ἀναμεμφῶ τοῖς ἐμοῖς, ὅπου γε καὶ πρὸς ἄλλων τοῦτ' ἔχεις μαθεῖν κρειττοτέρως. ἕν γε δὴ μόνον ἔχω σοι μνημονεῦσαι, ὅτι εἰ γυνὴ οὐ ἐπιλήσηται τὰ ἔκγονα τῆς κοιλίας αὐτῆς, οὐδὲ ἐγὼ ἐπιλήσμων ποτὲ γενήσομαί σοι κατὰ τὸν συνέσιον, παῖδας ἐγέννησα διὰ λόγου κἀκεῖνός φησι ἐνθέντι καὶ αὐτὸς ἐνδοξότατον ἔκγονον οἰκίως τῆς ἐμῆς ψυχῆς, πῶς οὖν ἦν δυνατὸν ἐπιλήσμων γενέσθαι σε, μὴ γένοιτο. ἀλλ' ἡ τοσαύτη ζάλη τοῦ ἀλάστορος ἐκείνου, οὗ τὸ μνημόσυνον ἐξαληφθείη ἐκ βίβλου ζώντων, εἰ τοῖς κακίστοις ἐπιχειρεῖ μετὰ τῶν συμμυστῶν αὐτοῦ, τούτων ἡ ἀγελαία ὁρμή, ἴσως ἐπιλήσμονά με πεποίηκε κατά τι καὶ οὓς ὄφελον δώροις δεξιοῦσθαι κἂν τό, χαίρειν, οὐκ εὐπορήσας ποτὲ λέξαι. τανῦν δὲ μόλις ἀνανεύσας τῆς ἀλογίστου φορᾶς ἐκείνων θεοῦ συναιρομένου μοι καὶ τῆς σαυτοῦ κατὰ τὸ δυνατὸν συνδρομῆς, εἰς μνήμην ἠλ-

ἦλθον σου τοῦ πνδματικοῦ μου υἱοῦ καὶ ἀληθοῦς φίλου, κἂν διὰ μικροῦ προσαγορεῦσαί σοι γράμματος. καὶ τὴν προτέραν φιλίαν ἀνανεώσασθαι. εἶεν καὶ τὰ μὲν ἡμέτερα ἐς τόσον, κύριος δὲ ὁ θεὸς πολυχρόνιόν σε ποιήσει πολλῶν ἐτῶν καὶ καλῶν.

Ἀνωνύμου.

ΕΥ῎λαβον ἐκείνην σου τὴν καλὴν καὶ γενναίαν ἐπιστολὴν, ἣν οὐχ ἅπαξ καὶ δὶς, ἀλλ' ἤδη πολλάκις ἐπιὼν, οὐκ ἂν εἴποιμι διὰ χειρῶν ὅσης γε ἐνεπλήσθην τῆς ἡδονῆς, τά τε ἄλλα καὶ ὅτι σε πάντας φιλοῦντα ἐφάνη μηνύουσα. καὶ τοῦτό γε οὐ μικρὸν δεῖγμα τῆς σῆς ἀρετῆς, τὸ ἀγαπᾶν τούς τε γνωστοὺς καὶ ἀγνώστους, καὶ δι' εὐμενείας πάντας οἰκείους τε καὶ ξένους προσκαλούμενός γε φιλίαν. καὶ τοῦτο σου τὸ φιλάγαθον οὐκ ἐπέσχε ἡ τοῦ τόπου διάστασις, ἀλλὰ καὶ ὡς ἡμῶν ἐφήπλωτο. μνησθεὶς γάρ μου τοῦ ὀνόματος τότε ἐν τῷ πρὸς τὸν πρωτοθύτην ῥηθήμενου παρὰ σοῦ πεμφέντι γράμματι, αὐτός μοι τόγε οὐ μετέδωκεν εἶναι λογισάμενος. ἐν τῷ μὴ ἀμείψομαί σε ἀντεπιστολῇ, δυνηθεὶς δυσχερῶς τὰς διαβολὰς ἐπισάξειν, ὃ καὶ πεποίηκεν. ἐγὼ δὲ πῶς γε τολμήσω μωμήσεσθαι πότε λόγους τοὺς σοὺς, ὁ πάλαι καλῶς πεῖραν τῆς σῆς ἀρετῆς καὶ παιδίας λαβὼν καὶ μεγάλα σαφῶς κατειδὼς, ὅτι λόγων ἀξίστη φύσει

σει καὶ πουδῇ κεχρημένος προκέκοφας. καὶ καθ' ἑκάστην ταῦτ' ἔχομεν ἐκ πολλῶν αὐτόθι πρὸς ἡμᾶς φοιτόντων, κỳ κατὰ τὸν σοφὸν, φήμιδ' ἄτιπάμπαν ἀπόλυται ἥν οἱ πολλοὶ φημίζουσι. περὶ δὲ κάλλους συνθέσεως καὶ ῥυθμοῦ τέχνης σῶν λήγων, οὐδὲν ὅλως αὔτις εἰπεῖν γε δυνήσοιτο, μᾶλλον μὲν αὐτὸς ἐπειράσω φαυλίσαι δέ τινα συλλαβὴν μη, ὃν ἐπιμελὲς ἐθέμην γνῶναι εἰ δικαίως μ' ἐμέμψω, ἵνα σ' ἐξόχως ἀγαπήσω κατὰ τὸν τοῦ σοφοῦ λόγον, ἐντυχὼν οὖν, οὐδ' ὅσον εἰπεῖν ἐνενόουν ταύτην κεκρυμμένην αὐθάδειαν, ἐδωχέρανον μὲν ἐπὶ τῇ ἐκ ἀληθῆ ταύτην μέμψιν, ἀλλ' ἀκούων παύλου τοῦ θείου λέγοντος, εἰρήνην δίωκε. τὰς δὲ

δύ'τας ζητήσεις, παρὰ τοῦ. εἰ δὼς ὅτι γεννῶσι μάχας, ἐπέχων ἐμαυτὸν οὐ μικρῷ τοῦ πάθους. ὅθεν οὐδὲ

ἢ μᾶλλον ἀπολογίας ἀπέςειλα. ἀλλὰ ταῦτα μὲν ἐάσωμεν ἐκποδῶν γενέσθαι. ὅτι ἡ ἀγάπη οὐκ ἀσχημονεῖ, ἀλλ' οὐδὲ παροξύνεται κατὰ τὸν ἀπόςολον. ἧς γε δὴ θαυμάσιε πρότερος αὐτὸς καταρξάμενός σου ἐπιςείλας, διὸ ἐγώγε προθύμως ἐθέμην πάσῃ πουδῇ ταυτηνὶ πρὸς σὲ φυλάξαι ἀθόλωτον. ἔῤῥωσο, καί μοι τῆς τῶν γραμμάτων δ'μουσίας ἀνέχου, μηδὲ ζήτει τοῖς σοῖς παραπλήσια, ὑπὲρ λόγον γὰρ ὅλως ὂν παραλλήλως δ'τυχεῖν κατὰ σὲ φύσει κỳ παιδείᾳ ἐν λόγοις.

Γεώρ-

Γεώργιος ὁ βαλσαμὼν γεωργίῳ τῷ κορινθίῳ.

Γνώμης τὸ πρὶν γενόμενον ἀποστερήσας ἐμαυτὸν ἐπὶ χρόνον τῆς ἐκ τοῦ γράφειν σοι εὐφροσύνης διά τινα ἀσχολίαν οὐκ ἄχρηστον, μετέγνων ὕστερον καὶ ἀντεπιστέλλω σοι, οὐ τὴν τυχοῦσαν γὰρ ἀφορμήν μοι παρεσχείκας, τῷ ἕτερα ἢ προσῆκε δοξάζειν περὶ ἡμῶν. μακαρίζων γάρ με διατελεῖς, εἰ τὸ ἐς λογικήν τε καὶ φιλοσοφίαν τεινόντως ἐμφοροῦμαι παρὰ τοῦ θείου λασκάρεως. εἰ δὲ πάλιν ἐπανήειν εἰς τὰ γραμματικά, τὸ ἀνάπαλιν. ἐγὼ δ' οὐ σύνοιδα ἐμαυτῷ εἰς τὰ τῶν κελτικῶν ἐπανελθόντι, ἀλλὰ μᾶλλον ἤδη τούτων ἐπιβαλλομένῳ. τοιγαροῦν τὴν ἐπιβολὴν εἰς ἐπάνοδον μεταστρέπων, οὐδὲν ἄλλο τυγχάνεις αἰνιττόμενος ἢ τὴν περὶ λόγους μου ἀφυΐαν καὶ τὴν τοῦ νοὸς σκαιότητα, οὐ μὲν διὰ τοῦτο πάνυ ἄχθομαι, οἶδα γὰρ ὡς οὐκ ἄν τις ὑπὸ σκώμματος χείρων γένοιτο, ἀλλὰ τοὐναντίον, χρηστότερος. σὺ μέντοι ὡς δοκεῖς τὰ τοιαῦτα ὑπείληφας περὶ ἐμοῦ, ἀπὸ τοῦ τὸν σπουδαῖον σπόνδηλον χθὲς καὶ πρόξιτα λέγοντος τεκμαιρόμενος εἰ ἐκεῖνος μετὰ μικρὸν τὴν σοφίαν κυνηδὸν ἐσιτήσατο. ἄλογον γὰρ ἄρα τὸν τοῖς αὐτοῖς τούτοις πάλαι ἐνασχολούμενον, πολλῷ πάνυ προβεβηκέναι. ἀλλ' ὅτ' ἄν, ἔδεισε καὶ τοῦτο λογίσασθαι, ὡς ἄρα ἀρετὴ φύσει, μαθήσει, χρήσει τοῖς ἀνθρώποις προσγένεται. ἐμοὶ δὲ ταῦτ' οὐκ ἐγένετο. πρῶτον μὲν γὰρ τὰ τῆς φύσεώς γε ὡς οἶσθα οὐκ εἶχες δεξίως ὥσπερ σοί.

ὅ δὴ

ὃ δὴ μέγιστόν ἐστι πάντων καὶ κυριώτατον, κατὰ εἰ καὶ ποικίλα καὶ πολυειδῆ τὸν λόγον ἡδύσματα προυτίθετό μοι ὁ ἡμέτερος καθηγέμων ἑκάστοτε, ἀλλ' ἐγώ γε θελοκάκων αὐτὸς καὶ ἀπεδοκίμαζον ὑπ' ἀνοίας καὶ νεότητος τότε. καὶ πρὸς τέρψιν βλάβος φέρουσαν ἀπέκλινον. ὃ καὶ σύμμιπρὸς μαρτυρήσειας, ὑπ' ἀπειρίας τῆς πλεῖστ' ὠφελεῖν δυναμένης ἀπολαύσεως. ἔνθεν καὶ συνέβαινεν τὰ πλεῖστά σου τὴν μνήμην διαφεύγειν μὴ τῇ μελέτῃ διαφυλάττοντος ἅπερ ἐμάνθανον, διὰ ταύτης τοίνυν δοκῶ μοι ἐπαινήκειν. πῶς γὰρ ἐπαναχάμπτειν φωνὴν, τὸν μὴ δάκτυλον προσβεβηκότα τῆς ὑσπληγγος. ταῦτ' οὖν ἔχουσοι ἀπολογίσασθαι ὑπὲρ ἐμαυτοῦ. ὀρθῶς καὶ δικαίως εἰρημένα κατ' ἐμὴν γνώμην. ἔνθεντοι καὶ σύ με ταπείθητι, καὶ τὰ προσήκοντα εἰς τὸ ἑξῆς φρόνει περὶ ἡμῶν. εἰδ' ἄλλως τοῖς προτέροις ἐμμένων λογισμένοις, τὰ μὴ προσόντα μοι προσάψεις, οὐ χαλεπῶς οἴσομαι. πέπεισμαι γὰρ ὡς εἰ ἐπιλήσμων καὶ σκαιὸς παρὰ σοὶ λογισθήσομαι, παρὰ γοῦν τοῖς γνωρίμοις, πτλησειονός τε καὶ παιδείας ἐραστής. τῷ μὴ πρὸς ἄλλην τινὰ τῶν τεχνῶν ἀγεννῆ καὶ ῥάστην ἐκμαθεῖν βαπτῆναι. ἀποδειλιάσαντα πρὸς τὴν ἐν λόγοις ἐνοῦσάν μοι ἀφυΐαν, ἀλλ' ἐμμεῖναι οἷς ἅπαξ προειλόμην, καὶ ταῦτα μὲν ἐπὶ τοσοῦτον. ἴσθι καὶ ἡμᾶς νὴ τὸν λόγον, σὲ μὲν θαυμάζοντας καὶ εὐδαιμονίζοντας τῆς εὐφυΐας. τὸν δὲ κοινὸν καθηγέτην σέβοντας καὶ ὑπὲρ ἐπαινοῦντας τῆς ἐν τῷ διδάσκειν δεινότητος.

μέγιστα γὰρ καὶ ἀξιάγαστα τοῖς τῷ ὄντι τῶν λόγων ἐρασταῖς δωρεῖται, ὡς ἐν σοὶ ἐπεδείξατο. ἐν οὕτω γὰρ βραχεῖ τοιαῦτα σοι περιέθηκεν καὶ περιεποιήσατο, οἷα οὐδεὶς ἄλλος ἕτερόν γε διδάξειεν. ἅπασι γάρ σε τοῖς σπουδαίοις ὡς εἰπεῖν, ζηλωτὸν καὶ ἐπίφθονον ἀπεφήνατο. ἐπεὶ οὐκ ἔστιν ὅς τις τῶν τὰ σὰ γράμματα ἀναγνόντων εἰ νοῦν ἔχοι, οὐκ εὔξαιτ᾽ ἂν ὅμοιός σοι γενέσθαι, εἰ γὰρ ἀντίπαιδα ἔτι σε ὄντα, τοιαδὶ ἐπιστέλλειν ὁ θεῖος ἀρσένιος ἀπειργάσατο. τίς ἂν ἔσοιο ἐπ᾽ ἀρετῇ ἤνικα ἐπὶ τὴν ἀμείνω λογίζεσθαι δυναμένην ἡλικίαν ἀνδρωθῇς; ταῦτα μὴν πρὸς σέ. ὁ δὲ φράγγισκος εἰ ἐγκαλεῖ, οὐ δικαίως μοι δοκεῖ. αὐτὸς γὰρ ἔγραψε ὡς εἰς παῤῥησίους ἄγουσαν περὶ αὔγουστον φθίνοντα ἔμελλε ξαπῆναι. καὶ διὰ τοῦτ᾽ ἔγωγ᾽ ἐσίγων. τὴν ἄλλως ἐπιστέλλειν οὐκ ἐγνωκώς, πλὴν ἔμοιγε καὶ τοῦ γράφειν ἀπεχομένῳ συμπρόεισι τῷ χρόνῳ καὶ ἡ τοῦ φίλου προσθήκη, ἐξ ἀκάκου γὰρ καὶ ἀτελῆς ἔτι ψυχῆς κατὰ τὸν εἰπόντα, ἡ εὔνοια συνεκτρεφομένους πρὸς τὸ τέλειον ἄνδρας τε. ἐπειδὴ οὐδ᾽ εἴπω καὶ τήμερον οἶδα. περὶ αὐτοῦ ὅθι τὰς διατριβὰς ποιεῖται, σὺ τοῦτο δηλώσας ἡμῖν; τὰ μέγιστα χαριῇ. σύστησόν με τῇ τοῦ κοινοῦ εὐεργέτου αἰδεσιμότητι ἔτι δὲ, καὶ τῷ οὐκ ἔλαττον τῶν πατρίων τὰ τῶν ἑλλήνων μεταχειριζομένῳ κυρίῳ πέτρῳ τῷ βορδήνῳ. ὑγίαινε, μαρτίου β΄ ἱσταμένου.

Τὸ παρ᾽ ὑμῶν πεμπόμενον οὐδέπω ἑώρακα, τοιγαροῦν δήλου σαφέστερον.

Παῦ-

Παῦλος μανούκιος γεωργίῳ τῷ κορινθίῳ εὖ πράττειν.

Σφόδραμοι θαυμάζειν ἔπεισι, καὶ διαπορεῖσθαι, φίλτατε κορίνθιε, ἀκούοντι, τῶν μὲν ἄλλων τῶν ἑλλήνων λαμπρότατον ὄντα σε, καὶ μάλιστα ἐν τοῖς λόγοις εὐδοκιμοῦντα, τοῦ γε μὲν τοῖς νέοις ἐξηγεῖσθαι τὰ τῶν ἀρχαίων συγγράμματα, οὐδὲ μὴ τὰ τινὸς διαλέγεσθαι, οὐ γὰρ μετὰ σαυτοῦ διανοεῖσθαι, τοῦτο γὰρ ἀνάγκη οὐκ εἰκῇ, οὐδὲ παραλόγως γίγνεσθαι, ἀλλὰ μὲν ὅπερ ἂν σε τοῦ δὲ τοῦ ἐπιτηδεύματος, καὶ τοῦδε, ὡς ἐμοὶ δοκεῖ, τῆς δόξης ἀποστερεῖαν, ἐγὼ πρὸς ἐμαυτὸν σκοπῶν, καὶ διανοούμενος, δύο μάλιστα τὰς αἰτίας εὑρίσκω, ἢ γὰρ αὐτὸς σεαυτῷ ἀμαθίαν συνειδὼς, ἡσυχίαν ἄγειν προαιρεῖν, ἢ τοῦτο μὲν οὐχὶ, κατὰ δὲ τινα τοῖς ἐλευθέροις ἐμπεφυκυῖαν αἰσχύνην οὐ τολμᾶς οὔτε αἰτεῖσθαι, οὔτε προσφερόμενα παραλαβεῖν, ἃ πολλὰ αἰτοῦσιν οὐκ ἐξεγένετο τυχεῖν, βούλομαι δὴ περὶ τούτων ἀμφοτέρων οἰκείως μετὰ σοῦ καὶ ἐλευθερίως, ὥσπερ τῇ ἡμετέρᾳ φιλίᾳ προσήκει διαλεχθῆναι, διότι τῶν ἀνθρώπων εἶναι γένη κακῶς τε καὶ ἀνοήτως κειμένοντων ἐφορῶ. πολλοὶ μὲν γὰρ, οὐ δὲ ἄκροις, ὅ φασι, δακτύλοις, παιδείας ἡμμένοι, μέγα τε καὶ φρονοῦσι, καὶ τὴν ἐγκύκλιον παίδευσιν αὐτὴν ἐπαγγέλλονται, ὃ κάκιστον καὶ ἀνοητότατον εἶναι γένος, οὐκ ἔστιν ὅς τις οὐδιορᾷ, τινὲς δὲ, καὶ μάλιστα εὐφυεῖς, καὶ πολλὰ καὶ μεγάλα ἐν τῇ ψυχῇ περιλαβόντες, ὅμως οὕτω πε-

ἐν τῆς σφετέρας δυνάμεως ταπεινοφρονοῦσι, ὥστε οἷον ὕπνῳ βαθεῖ κρατουμένους, οὐδέποτε πρὸς τὰς ἐπιφανεῖς καὶ περιβοήτους διατριβὰς ἐξεγείρεσθαι, καὶ τὰ τῶν πράξεων μέγιστα δυναμένην ὑποστῆναι, τῶν μικροτέρων διὰ μικροψυχίαν ἀπέχεσθαι. ἐν ᾧ σε γένει ἐγκαταλέξας τις, οὐκ ἂν ἁμάρτοι, κορίνθιε. τί γὰρ βουλόμενος ὁ πάντ' ἄριστος ἐκεῖνος σὸς θεῖος ὁ μονεμβασίας ἐπίσκοπος φύσιν οὕτως δεξιὰν καὶ εὐγένειαν παραλαβὼν ἐπαίδευσε, καὶ τοῖς καλλίστοις τῶν μαθημάτων ἐπήσκησεν. ἆρά ποτε ἵνα ἐν σχολῇ ἀφανεῖ βίον ἀνώνυμον διάγων καταγηράσκῃς, ἢ πολὺ μᾶλλον, ὃ καὶ πιθανώτερόν ἐστιν, ἵνα ἐς ἄκρον παιδοτριβηθεὶς, τὴν αὐτὴν ἐκείνοις τοῖς θείοις ἀνδράσι, τῷ τε βησσαρίωνι, καὶ θεοδώρῳ, καὶ γεμιστῷ, δόξαν, διὰ καλῶν ἀγώνων σαυτῷ περιάπτῃς. ὃ δύνασαι μὲν, ἀβούλει ῥαδίως. βούλεσθαι δὲ προθύμως ὀφείλεις, ὅτι τοῦ μὴ βούλεσθαι οὐδεμία σοι σκῆψις ὑπολείπεται. φέρε γὰρ εἰ τοσοῦτον ἀπιστεῖς σεαυτῷ, μιμοῦ τοὺς νοσοῦντας, τοὺς οὐχ ἑαυτοῖς ἀλλὰ τοῖς ἰατροῖς πιστεύοντας, καὶ σὺ δὲ τοῖς φίλοις μᾶλλον ἢ σαυτῷ, πίστευε. τίνα γοῦν ἔχουσι περὶ σοῦ γνώμην οἱ φίλοι; ἔθνους ἑλληνικοῦ φῶς εἶναι κορίνθιον περιφανές. ὥσπερ προγόνους ὀνομαστοτάτους, καὶ τῶν καθ' ἑαυτοὺς ἄρξαντας ἀνθρώπων, ἀναφέροντι τὸ γένος, καὶ μετὰ τὴν τύχην ἐκείνων ἡττωμένῳ, κατὰ δὲ τὴν ἀρετὴν ὑπερέχοντι, παρὰ μόνην τὴν βούλησιν οὐδὲ ἕτερον ἐ-

πι-

πιλείπει. διὸ ταύτην μὴ φοβοῦ τὴν ἀμαθίαν, μηδὲ σὲ νόμιζε ἀμαθῆ, ἵνα μὴ ἅπαντας ἡμᾶς, οἵσε ἄγομεν ἐν τιμῇ, καὶ ἐγκωμιάζομεν, ἀμαθεῖς ἅμα νομίζῃς. εἰ μὲν γὰρ ἁπλῶς πρὸς πάντα τὰ μαθητὰ ἀνατείνειν βουλοίμεθα τὸν νοῦν, καὶ σὲ δήπου, ὦ κορίνθιε, καὶ πάντας ὁμοῦ τοὺς ἀνθρώπους ἀμαθεῖς νομιστέον. καὶ τοῦτον τὸν τρόπον οὐδ' ἂν οἱ περὶ πλάτωνα καὶ ἀριστοτέλη μαθόντες ἱκανῶς δόξωσιν. ἄπειρα γάρ ἐστιν, καὶ ἀναρίθμητα τὰ ἐν τῷ σφαιροειδεῖ τούτῳ κόσμῳ συγκατακλεισθέντα μαθητὰ εἰδ' ἐπὶ τὴν ἀνθρωπίνην φύσιν ἀποβλεψόμεθα, τῷ ὄντι σὺ, ὦ κορίνθιε, διὰ πάντων, εἰ καὶ τὶς ἄλλος, ἥκεις τῶν μαθημάτων, καὶ οὐδεὶς σου τὸ τήμερον κατέχει τὴν ἐμὴν σοφώτερος. οὐ μὴν ἀλλ' εἰ μὴ διὰ ταύτην τὴν αἰτίαν, διὰ δὲ τὸ αἰσχύνεσθαι ἡσυχάζων διατελεῖς. καί τι καὶ τοῦτο ποιῶν ἐξαμαρτάνεις. τὴν γὰρ αἰσχύνην, φόβον ἀτιμίας οὖσαν, ἀνάγκη μάθον, εἶναι. εἴ γε πάντα φόβον πάθος εἶναι φανερὸν, τὰ δὲ πάθη, εἰ καὶ κατὰ μικρὸν παραμένει, οὐδεὶς ἄν ποτε καλὰ νομίσειεν. ἐμβραδύναντα δὲ, κάκιστά τε καὶ αἰσχρότατα πάντες ἂν ὁμολογήσαιεν. διὰ ταῦτα φερόμενοι αὐτὴν ἐν τοῖς νεοτέροις, ἀπὸ τῆς ἀπειρίας καὶ ἀπαιδευσίας ἐξαμαρτάνουσιν. ἐν δὲ τοῖς πρεσβυτέροις καὶ τοῖς σπουδαίοις, ὧν τοὺς μὲν ἀπὸ τῆς ἐμπειρίας, τοὺς δὲ ἀπὸ τῆς παιδείας φρονίμους εἶναι δεῖ, οὔτε φέρομεν αὐτὴν, ἀλλ' ἐξελέγχομεν ἀκριβῶς, ἃ καὶ τοιαῦτα κάλλιστα δὲ, καὶ δαιμονιώτατα, ἐν τῷ τῶν ἠθικῶν

τετάρ-

τετάρτῳ ἐν τῷ τέλει, διαλέγεται ὁ σὸς ἀριστοτέλης. οὔ τὰς μὲν γνώμας ἀκέω ἐγκωμιάζοντάσε. ἐπιτηδεύοντα δὲ παραπλησίως οὐχ ὁρῶ. οὔτε γὰρ δήπου νεώτερος εἶ, οὔτε ἀπαίδευτος, ἀλλὰ τῆς μὲν ἡλικίας ἐν τῇ ἀκμῇ, τῶν δὲ πεπαιδευμένων ἡ κορυφὴ, δι᾽ ὃ σοὶ, ἐν ῷ νῦν δοκεῖς εἶναι πάθει, περιμένειν οὐ πρέπει. τίνος γὰρ ἕνεκα, ὅπερ φιλικιανὸς ὀνεωςὶ τελευτήσας ἐποίησε, καὶ νὴ δία καλῶς ἐποίησε, τοῦτο σὺ μὴ ποιήσῃς, καὶ κάλλιςα ποιήσεις; τόλμα χρεῖνθιε, τόλμα θαυμασιε, ἅπαντα προχωρεῦσι, τολμητέον δ᾽ εἶναι πρὸς τὰ τῶν πραγμάτων ἔντιμα, πάντες μὲν ἄδουσι ποιηταὶ, μάλιςα δὲ ὁ τῶν ποιητῶν ὅμηρος ἄναξ, ὃς καὶ τὸν ὀδυσσέα, καὶ τὰς ἄλλες ἡμιθέες ἅπαντας κινδυνεύοντας καὶ φιλοπονοῦντας ἐμυθολόγησεν, οὐ πρέπον διὰ τὸ ἐκείνους ἐγκωμιάζεσθαι, ὅσον διὰ τὸ τῆς νάρκης ἡμᾶς ἀπεξεγομένους, πρὸς τὰ καλὰ τῶν ἐπιτηδευμάτων ἐπιςρέφεσθαι. ἑώρα γὰρ ὅτυφλὸς, ἀλλὰ τὸν γε νοῦν ἥκιςα τυφλὸς, τὴν ἀνθρωπίνην φύσιν, εἰ μὴ τοῖς παραδείγμασι παροξύνοιτο, ἐς τὴν ῥαςώνην εὐχερῶς ἀποκλίνουσαν. ἄξιον οὖν πάρεχε σεαυτὸν τῶν προγόνων καὶ γνῶθι σαυτὸν ὦ γεώργε, τὰς ἐπιςήμας ἔχεις ἐν τῇ ψυχῇ, τὴν σεμνολογίαν ἐν τῷ σώματι, τὴν ἀξίαν ἐν τῷ εἴδει, ἃ καθ᾽ ἕκαςα μὲν πλείςες ἔχοντας ὁρῶμεν. πάντα δὲ εἰ τίς ἕνα, ἢ μάλιςα δύο περιλαβόντα δηλῶσαι ἐν ἑκάςῃ πόλει δυνήσεται, μέγα ποιήσει. ὧνεκα βαρυτέρως, οἱ τὰ πάντα εὐτυχοῦντες, καὶ μὴ με-

τὰ κοινῆς ὠφελείας ἐπασκοῦντες, ἁμαρτάνουσιν, ὅ σοι σφάλμα ἵνα μή ποτε ἂν ἐπονειδισθείη, τὰς τῶν φίλων ἄκουε φωνὰς, τὰς πρὸς τὴν δημοσίαν ἀνάγνωσιν καὶ διήγησιν παρακαλούσας, ἐν ᾗ τιμὴν, ὁ θεῖον ἀγαθὸν, σοφώτατος ἀνὴρ ἀπεφήνατο, μεγίστην εἶναι, πάντες, ἥκιστα κατάγε τοῦτο ψευδόμενοι νομίζομεν. ἔρρωσο.

Θεοφάνης μοναχὸς τῷ ὁσιωτάτῳ καὶ ἐλλογιμωτάτῳ ἐν ἱερομονάχοις καὶ πνευματικοῖς κυρίῳ Ἰγνατίῳ ἐν κυρίῳ χαίρειν.

ΕΜοὶ παντὸς μᾶλλον, ἄνθρωπε τοῦ θεοῦ, κατὰ σὲ εὐχαίρειν. καὶ ἀεὶ μὲν πρότερον, νυνὶ δὲ μάλιστα περιεσπούδαστον, τοῖς δὲ ξυγκεκυρηκότι τοῖς πράγμασι, οὐκ εἰδὼς εἴ τῳ ἄλλῳ, τίποτ' ἂν ἄλλος, καὶ τὸ δὲ δή τι μὲν λείπεται ζώπυρ ἐλπίδος χρηστῆς, ἐπὶ τοσούτοις ἄρα τοῖς ἀλγεινοῖς καὶ παραμυθίας ὁποιοῦν ἀφορμὴν νῦν τε τῷ βίῳ ὅσον ἄρα λοιπὸν εἴη καὶ μεθύστερον. ὡς δ' ἀμέλει νῦν τίς ἐβάσκινε δαίμων ἔφεδρος ἀεὶ καὶ λῃστεύων, οὐκ ἀναίδην μᾶλλον, ἢ κρύφα τε καὶ σὺν δόλῳ, καὶ σαιωρούμενος ἀκάμας, καὶ ἄϋπνος τὸν ἀεὶ χρόνον, τὴν προκοπὴν τῶν βελτίων λεποδυτῶν, ὑφ' οὗ ἔοικε πάντα τὰ σὰ κατερείπεται, καὶ περιφανῆ ταῖς συμφοραῖς ποιεῖται, τί ποτ' ἐρῶ τί ποτε πέπονται διὰ σὲ, πάγκοινα τῇ φθορᾷ τὰ ἐκ πολλῶν χρόνων ἀγαθὰ χωρήσαντα τῇ ἑνώσει τοῦ πολυστρόφου

καὶ

καὶ πολυπλασίου ἀνδραπόδου, τοῦ ἑρμοδώρου λέ-
γω, ὅθεν δέδηγμαι τὴν καρδίαν, ὡς διὰ σὲ οἷ-
ος ἦς, οἷος γένου ὡς ἀκούω τὰ κατὰ σέ. καὶ
κλύδωνι παντάπασιν ἀπογνώσεως πάσης ἀγα-
θῆς ἐλπίδος αὐτίκα αὐτόθεν, ὅσαι ἡμέραι τε
καὶ νύκτας ταράττομαι καὶ ναυάγω. ἀλλ' ὅμως οὔ-
ποτ' ἄρ' εὐελπιστία ἐμοὶ λείπει, καὶ μνήμης ἐ-
πὶ χρυσοῖς ἐμπορεύομαι, καὶ ὁ γὰρ ἐμοὶ παν-
τὸς μᾶλλον ποθεινόν τε καὶ τίμιον, καὶ μόνον
ἐπὶ ξυμφορᾷ τοσαύτῃ τοῦ γένους ἤρκει φέρον, ἥν
τινα δὴ ῥαστώνην, καὶ πνεῦμα πῶς οὔριον καὶ κοῦ-
φον τῇ πάντ' ἐμῇ ταλαιπόρῳ ψυχῇ, τὸ δὲ καὶ
αὐτὸ τραπὲν καὶ νοσῆσαν μικροῦ ἐν σάλῳ λοι-
πὸν ἤδη προδήλων νῦν, καὶ προσθήκη μοι σὺ
γίγνῃ, τῶν ἄλλων μειζῶν, ὦ βέλτιστ' ἀνδρῶν
καὶ φίλτατε, καὶ κολοφὼν τῆς παροιμίας ἐπαύ-
ζων ταῖς ἀποφάσι τύχαις, τὰς πικρὰς ψήφους;
καὶ μάλιστ' ἐπισημαίνων αὐτὸς τοῖς φθάσασι δει-
νοῖς, καὶ κράτος ἐργωδέστατον ἀπευτᾶν σφίσι
διδοὺς, καὶ ὃν σὺ διαπαντὸς σοι τοῦ ζῆν, δια-
φερόντως ἤρας, δεῖ εἶναι πάντα πράγματα. καὶ
ψυχὴν καὶ σῶμα καὶ διαπαντὸς ἐπήγου ταῖς
εὐχαῖς, καὶ πλεῖστον πονεῖν ἠξίους ἐμοὶ, καὶ
πρὸς πάντα κάματον ὅπως ἄρ' ὁ ποιοῦν ἔξεσιν
οὐκ ἂν μή ποτ' ἀποτρέπεσθαι, νῦν ἔλαθες ἤ-
δη μεταλλάξας τὸν τρόπον ἐπὶ πᾶσι πράγμα-
σι δυσχερὲς καὶ χαλεποῖς ὡς λέγουσι διὰ τὸν
ἑρμόδωρον, ἀλλὰ τανῦν μάλιστα μὲν ἐμὲ, καὶ
ἀεὶ πρότερον εὐθυμούμενον κατὰ τὸν βίοτον, καὶ
πολυδόξως ἀνύοντα, καὶ ἔτι πλεῖστον ὡς ἂν

εἰπών, φλέγων ἐκτόπως εἴχετε καὶ ἔχει πάθος τε καὶ σπουδὴ ὑπερβαλλόντως, ἐξηρτισμένης μοι τῆς καρδίας ἐπὶ σοί, καὶ ὡσανεὶ ζωηφόρον ἐντεῦθεν ἐκπνεύσης, καὶ θαλπομένης αὔραις ἀτεχνῶς ἀνενδότοις, ἔνδον καὶ δροσοφόροις κατὰ παντὸς τοῦ λυποῦντος, καὶ τὸ περιλειφθεῖναί μοι σεαυτὸν ἐν ἀγαθοῖς, ὡς ἄρ' εἶχε στέως, καὶ ἀεὶ πρόσω ἤεις, καὶ τοῦ χρόνου καθ' ἅπαξ ἄθωον καὶ ἀλώβητον, καὶ πᾶσα ἐπηρεία, κομιδῇ πάντων δικαιότατόν σε καὶ πάντων ἐμοὶ τιμώμενον δεικνύοντος, καὶ τόδ' εἶναι μάλιστ' ἐπέπισμεν ἀσφαλέστατα, μετὰ τῆς ἐπιστάσιος τοῦ πεῖραν ἄσειστον ἐν τούτοις δεδωκότος οὐχ ἧττον ἢ πρὶν ἐν τῷ νῦν ἐργώδει, καὶ δυσαντήτῳ μοι, καὶ πολυκύμονον χρόνῳ, ἔπειτά με πάσης ἀπηρημένον πρὶν δοκούσης δι' ἀπραγίας, πῶς οὐχ ἡγησαίμην δυστυχίαν τῷ πράγματι, καὶ τοίνυν τηρητέον τὸν μὲν καὶ προσηκτέον, δεῖ μάλ' ἀσχολούμενον τὸν νοῦν. ὡς ἂν ἄρ' εἰκὸς τόδε καὶ ἀνεμέσητον, ἅμα καὶ πρὸς τὸ γινόμενον ἅπαν. καὶ τὴν ἄσχολον καὶ τὴν χνικὴν ἕξειν κατ' ἀριστοτελὴς τῆς ἐργασίας, καὶ πάντ' ἀδιοίκητον ἀνύτειν, ἅμα δὲ καὶ πρὸς τὸ κρατερῶς καὶ μὴ ἀνειμένως, ἀποδύεσθαι, καὶ συνίστασθαι καὶ συναθλεύειν. πρὸς τοὺς ἐπιτιθεμένους ἑκάστοτε μετὰ τοῦ καιροῦ. καὶ δ' ἰναθαίπως οἰκονομεῖν τε καὶ φέρειν γενικῶς τὰ ξυμπίπτοντα πάντ' ἐργώδη, καὶ μὴ τῶν προσηκόντων ἑκάστοις ὀλιγωρεῖν ἀμηγέπη, καὶ ἅμα τρίτον ἐρεῖν, ὃ καὶ ἴσως ἐρεῖν αἰσχύνοιτ' ἄν τις, καὶ ἴσως ὅλως ἀμφι-

φι-

φιγονοεῖν αἰχύνοιτο, πρὸς τὸ τῆ ἤθους καὶ τῶν τρόπων ἀλικιωμένς. καὶ πάσης προσπαθείας ἑαυτῷ κ καπηλείας ἀνώτε ὁ παντάπασί μου ὡς ἀληθῶς, ἀπότροπαιον καὶ ἀπευκταιότατον, ὡς τε κ μόνον ἐρεῖν, κ μόνον ἐν ῷ θέσθαι, ἔρρωσο. κ τὸν ὑμέτερον ἀδελφὸν κ συναγωνιςὴν καὶ συνέριθον πρὸς ὅπερ παρὰ τῆς μεγάλης ἐκκλησίας αὐτῷ κεχάρισαι, δηλονότι, τὸ τῆ ῥήτορος ὀφφίκιον, τὸν κτ ἱερόθεον ἀσμένως ὑποδέξαι. ἔδει γάρ σε χαρῆναι καὶ εὐφρανθῆναι ἐπὶ τῇ τῆ ἀδελφοῦ προσαγορεύσει, εἴθε τοιούτους αἱ ἐκκλησίαι προτιμῶσιν καὶ προιςάναι ὡς ἐπὶ τὸ κρεῖττον ἂν ἀνορθοῖντο τὰ ἡμέτερα, διὰ τῦτο χαῖρε κ εὐφραίνου ἐπὶ τοιούτοις καλωπίσμασι τῆ γένους ἡμῶν. μηνὸς γειγνιῶντος ζ φθίνοντος.

Τῷ ὁσιωτάτῳ ἐν ἱερομονάχοις καὶ πνευματικοῖς πατράσι κυρίῳ ἰγνατίῳ τῷ ἐλλογιμωτάτῳ. δόθω ἐν χίῳ.

Θεοφάνης Μητροφάνει τῷ θεοφιλεςάτῳ.

Ὁ Μὲν τὴν εὐκαιρίαν τῶν πραγμάτων προδιδοὺς, πρόδηλον τῆς τῶν καλῶν διαμάρτοι θήρας, θεοφιλέςατε πάτερ. ἐπεὶ κ πάντα καλὰ ἐν καιρῷ αὐτῶν, ὁ ἐκκλησιαςὴς ἐδίδαξεν. ὅσοι δ᾽ αὖ γε καὶ τὰς λόγους λειποτακτήσαντες φέροντες ἑαυτὰς ἐνεχείρισαν σμικρολογίαις

γίαις τισὶν, οἷς ἀεὶ παραμένειν ἀνάγκην ἔχουσιν ἄσκεπτον, καὶ ξυνηλασίαν τινὰ, τῶν πρότερον ἐκείνων ἀγενῶν λογισμῶν πεπόνθασιν, εἰ καὶ μὴ δοκοῦσι καθάπαξ ἀνήροτον καὶ ἀκατέργαστον τὴν τῆς διανοίας καταλίπειν χώραν, ὡς καὶ οἱ βαρὺ γειόν τινα καὶ λιπαράν τε διάδα σφέτεραν καταχερσώσαντες, καὶ συγχωρήσαντες ἐξυβρίσαι καὶ ὑλομανῆσαι τῶν ἀνονήτων. ὅθεν ἔδει οὐχ ὡς ἐπιστάται τινὲς βάσκανοι καὶ τυραννικοὶ παντάπασιν ἀμβλώσαντες τὸ τοῦ νοῦ μεγαλοφυὲς καταλιπεῖν ἀργὸν, καὶ περὶ τῶν ἐπεισοδιαδικῶν φροντίζειν, ἀλλὰ μὴ περὶ τῶν αὐθυπάρκτων διὰ τὸ μὴ μεταπαρασκευῆς ἀκμαζούσης, καὶ διανοίας ἀσείστου φρονήματος, τῇ τῶν ὄντων ἐπιχολάζειν θεωρίᾳ. ἧς οὐδὲν τίποτ᾽ ἂν ἄλλο γένοιτο κατ᾽ ἀνθρώπους ἥδιον, ὡς ὅταν τις ἑαυτοῦ γενόμενος ὅλος, καὶ τοῖς τῆς σοφίας συνουσίας ἁρμοῖς ἐπινεύσειεν, εἰς ἂν ἔκδημον καὶ ἀμείριστον ἑδρασμὸν, ὡς ἐν μοναυλίᾳ ἀπόλυτον ἐπόπτην ἀφήσῃ πρὸς ξύμπαντα τὸν κόσμον, διαίρων ὁμαλῶς τὼ ὀφθαλμὼ, καὶ καταθεώμενος τὰς ἀμνηθήτους ἁρμονίας, καὶ θειοτάτην ἐπαφὴν ἐφαπτόμενος, μὴ κατοχλάζων καθάπερ τὸν ἀπέραντον δίαυλον, ἀλλοῖον πρός τινα πομπὴν, ἀκύμαντε καὶ ἔμμουσον ἐκδημῶν, ἀνήνυτον μὲν, ἄπονον δέ. καὶ ἄριστον μὲν, ἥδιστον δὲ μετὰ μεγάλης τὴν τοῦ παντὸς οὐσίαν ἀνακουφίζει καὶ τὰ τῆς θεωρίας ἀναπεταννύει λαίφη, ἐπιξενούμενος καὶ κατατρυφῶν, ἅττ᾽ ἂν δοκῇ, καὶ ἃ βέλτιστα τοιαύτου

τοί-

τοίνυν ὡς τὸ πάττειν εἰδὼς θαυμάσιε, παραινῶν ἡμᾶς ὅρον ὁρίζει φιλίας τῆς ἀρίστης, οὐ τῆς ἐχούσης τὸ χρήσιμον, οὐδὲ τὸ ἡδὺ, ἀλλὰ τῆς δ' ἀρετῆς, καθότι καὶ ἑκάστη τῶν ἀρετῶν κατ' ἀριστοτέλην, φιλία ἐστὶν αἰτία τὸ γὰρ ἀγαθὸν πᾶσιν ἐστιν ἐραστὸν, ὅθεν καὶ ἡ τοιαύτη φιλία καὶ ἀντιφιλία καὶ ἀντιπροαίρεσις διάλληλος λέγεται. φίλον μὲν γὰρ τὸ φιλούμενον τῷ φιλοῦντι, φίλος δὲ τῷ φιλουμένῳ καὶ ἀντιφιλῶν, ὥστε αὕτη ἐν ἀνθρώποις μόνη φιλία, ὡς μόνη προαιρέσεως αἰθομένη, αἱ δ' ἄλλαι καὶ ἐν τοῖς θηρίοις, οἷον τὸν τρόχιλον τῷ κροκοδείλῳ, καὶ τὰς διοδείας τοῖς μάντεσι. μὴ παύσαι ὦ τοίνυν τούτοις χαίρων, καὶ ταῦτ' ἐπιδεικνύμενος, καὶ παραινῶν, καὶ ποιῶν, ὡς δυνάμενος πάντ' ἀνακρίνειν τῷ πνεύματι.

Ἐπιγραφή.

Τῷ αἰδεσιμωτάτῳ καὶ θεοφιλεστάτῳ ἐπισκόπῳ, κυρίῳ μητροφάνει, ὡς ἡμετέρῳ δεσπότῃ καὶ πατρὶ ἐν κυρίῳ.

Τῷ θεοφιλεστάτῳ καὶ σοφωτάτῳ τε καὶ λογιωτάτῳ ἐπισκόπῳ κυρίῳ μητροφάνῃ θεοφάνης ά... ἐν κυρίῳ χαίρειν.

ΕΧω τὸ νικᾶν σε τοῖς φιλικοῖς, θεοφιλέστατε ἡμέτερε ἐν χριστῷ πατὴρ καὶ δέσποτα, ἐν

ὂν τοῖς πρότερος προσεπιςέλλειν, αἰτῶ σε δ' ἄν τι ταύτης τῆς προθυμίας οὐδὲν τῶν ὄντων ἐν κόσμῳ, ἀλλὰ φιλίαν ἀληθεινὴν, πράγμα τῶν σπανίων νῦν μάλιςα, καὶ παρ' ὀλίγοις δι- εισκόμενον. καὶ ταύτης ἡμῖν αἰτίας, ὔτε συγ- γένεια γένους, οὔτε κοινωνία πατρίδος, οὔτε, ὄφησιν ὅμηρος, ὁμηλικία ἐρατεινὴ, ὅσον ὁμοδοξ- ςπία καὶ τὸ τοῖς αὐτοῖς χαίρειν, ὃ μάλιςα πή- γνυσι τὰς φιλίας καὶ βεβαιοτέρας ἐργάζεται. ταύτῃ γε τοίνυν ἡμῖν ὀρθοδοξίας, καὶ ὁ τοῦ θείου νόμου θέσμους. ὑπὲρ ὧν ἀπόςολοι μεγαλοψυ- χίᾳ ἑαυτοὺς φραξάμενοι, τοσούτοις πολέμοις συρράγέντες, ἀρκοῦσαν εἶχον παράκλησιν τὴν τῶν ἀγώνων ὑπόθεσιν, οὐ γὰρ ὑπὲρ οἰκίας, ἀλλ' ὑπὲρ τῆς δεσποτικῆς δόξης ἔπασχον, ἅ- περ ἔπασχον. οὕτω καὶ ἡμεῖς ὅταν μὴ δι' οἰκεί- αν σκαιότητα, ἀλλὰ διὰ τὴν εὐσέβειαν καὶ δι- καιοσύνην πάσχομεν, ἀλύειν οὐκ ὀφείλομεν. ἀρκεῖ γὰρ ἡμῖν πρὸς κόσμον καὶ πρὸ τῶν μελ- λόντων ςεφάνων, ἡ τῶν ἀγώνων ὑπόθεσις, ἀλ- λ' ἡσυχάζοντες ὑμεῖς, οὐ τῇ δυνάμει τινὰ, ἀλ- λὰ τῇ μελλήσει ἀμυνόμενοι καὶ μόνοι οὐκ ἀρχό- μενοι τὴν αὔξησιν τῶν ἐναντίων, διπλασιου- μένην δὲ καταλύοντες, καίτοι ἐλέγεσθε ἀσφα- λεῖς εἶναι, ὡς ἄρα ὁ λόγος τοῦ ἔργου ἐκράτει. εἰ οὖν καί τινες ἄλλοι, νομίζομεν καὶ ἡμεῖς, ἄ- ξιοι εἶναι τοῖς πέλας ψόγου προσενέγκειν. ἀλ- λ' ὥς τε καὶ μεγάλων τῶν διαφερόντων καθε- ςώτων ἐπ' αὐτοῖς οἱ τὸν Θεὸν ὁμολογοῦντες εἰ- δέναι, τοῖς δὲ ἔργοις ἀρνέμενοι. τῷ, τε γὰρ δια-

πτύ-

πτύειν τὰ παρ' αὐτῷ κελευθέντα, τῷ, τε ἑτέρους παρασκευάζειν βλασφημεῖν αὐτὸν, νόθους ἑαυτοὺς ἀπελέγχουσιν. τοιοῦτος ὁ Βεῤῥοίας, ὁ παρὰ δύναμιν μὲν τολμητοῖς, παρὰ γνώμην δὲ κινδυνευτοῖς, καὶ ἐν τοῖς κινδύνοις εὔελπις. ὃς ἃ μὲν ἐπινοήσειε, μὴ ἐπεξέλθοι οἰκείων στέρεσθαι ἡγεῖται, ἃ δ' ἂν ἐπέλθοι κτήσηται ὀλίγῳ πρὸς τὰ μέλλοντα τυχεῖν πράξοι. ἢν δ' ἄρα τῇ πείρᾳ σφαλείη, ἀντελπίσας ἄλλα ἐπλήρωσε τὴν χρείαν. μόνος γὰρ ἔχει τε ὁμοίως καὶ ἐλπίζει, ἃ ἂν ἐπινοήσει, καὶ ταῦτα μετὰ πόνου καὶ κινδύνου δι' ὅλου αἰῶνος αὐτῷ μηχανώμενος, ὥς τε καί τι αὐτὸν ξυνελὼν φαίη πεφυκέναι ἐπὶ τῷ μήτε αὐτὸν ἔχειν ἡσυχίαν, μήτε τοὺς ἄλλους ἀνθρώπους, ἐὰν ὀρθῶς ἂν εἴποι. ᾧ ἄν τις οὐδ' ἀλόγων ζώων ἀγέλην ἐγχειρίσειε, μή τι γε λογικὴν ἀνθρώπων. ὡς ἀνθρώπους τοῦ ἀγωνιζομένους ἐπὶ πάσης ὀρθῆς πίστεως. κἀκ τῶν δρωμένων μυρίας σκανδαλίζειν ψυχὰς οὐ παύεται. τῆς σῆς τοίνυν ἐστὶν ὦ τίστε καλέσας ἀξίωσει προσείπω μεγαλονοίας. τὴν μὲν ἀκριβῆ τῶν πλημμελημάτων αὐτοῦ δίκην, τῷ ἀδεκάστῳ δικαστηρίῳ δουλεῦσαι, οὐ γὰρ οἷόν τε αὐτὸν ἐντεῦθεν τὴν ἀξίαν ἀποδοῦναι τίσιν. κινηθῆναι δὲ ἀμῦναι τοῦτον καὶ ἀποσοβῆσαι, εἴπερ φρονοῦμεν ταῦτα, εἰ τὰ τῇ οἰκείᾳ ὑπολήψει βοηθῆσαί τε τῇ Βεῤῥοιρόπων ἐκκλησίᾳ ἕνεκε Θεοῦ καὶ ἀληθείας, τυραννηθείσης παρ' αὐτοῦ. οὐ γὰρ βίᾳ καὶ τυραννίδι, ἀλλὰ πειθοῖ καὶ προσηνείᾳ ἡ τῶν ἀνθρώπων σωτηρία

 κατὰ

κατὰ τὸν ἀπόστολον κατασκευάζεται. διὸ καὶ τὸ κῦρος ἔχει ἕκαστος τῆς οἰκείας σωτηρίας, ἵνα καὶ οἱ στεφανούμενοι, καὶ οἱ τιμωρούμενοι, δικαίως ὑπομένοιεν, ὅπερ ᾕρηνται. ἔρρωσο καὶ ἡμῶν μέμνησο ἐν ταῖς πρὸς κύριόν σου ἐντεύξεσιν.

Θεοφάνης ὁ . , . . τῷ σπουδαιοτάτῳ κυρίῳ ἑρμοδώρῳ ἐν κυρίῳ χαίρειν.

Εἰ μὲν καὶ ἄλλῳ τινὶ τύχῃ βάσκανος ἐπικωμάζῃ, τί μοι λέγειν. ἐμοὶ δ᾽ ἄντικρυς ἄρτι νῦν ἐπεκώμασα ἀλλ᾽ ἥδιστ᾽ ἂν εἴη ὡς τὰ τοῦ πράγματος ἂν ἄλλα. ἰδοὺ γὰρ κατὰ πλάτωνα ὁ πρῶτος, καὶ ὁ δεύτερος, ὁ δὲ τρίτος ποῦ; μὴ τοῦτο τοίνυν σε πείσῃ, βέλτιστε, μὴ καὶ τοιοῦτον ἕκαστον εἶναι, οἷσπερ ἥδεται ξυνών, μέτρου σε παρακατέχειν προσιόντα, καὶ τὸ μηδὲν ἄγαν προσάπτοντα. ὥς τε μηδρὺ ἢ τῶν δεόντων ἐκεῖναι, ἢ τῶν μὴ δεόντων ἐλλίπειν. κατὰ τοῦτο γὰρ ἔχουσι καὶ ἀποτελέσματα τὴν ὁμοιότητα, πρὸς τὰ προσεχῆ αὐτῶν αἴτια. ἡ τοίνυν ἐσχάτη μακαριότης τῆς καθ᾽ ἡμᾶς φύσεως, ἐν τῇ τοῦ νοῦ ἐνεργείᾳ συνίστατο οὕτω τοῦ φιλοσόφου κἀν τῷ ἐννάτῳ τῶν μετὰ τὰ φυσικὰ, καὶ ἐν τῷ ϛ´ τῶν ἠθικῶν λέγοντος. καὶ πρόγε πάντων τῆς αὐτοαληθείας οὕτω διδασκούσης, αὕτη ἐστὶν ἡ αἰώνιος ζωὴ, ἵνα γινώσκωσί σε τὸν μόνον ἀληθινὸν καὶ δεσπότην, τὴν πρώτην καὶ καθαρωτάτην ἀλήθειαν. ἡ γὰρ καθαρὰ ἐνέρ-

γεια

γεια τελειοτέρα ἐςὶ, τῆς μεμιγμένης δυνάμει. οὐ γὰρ ἦν ὄν, ἀλλ᾽ ἦν τοῦ ὄντος, ταῖς γραμμικαῖς ἀναγκαῖς διάτινων ἐπισοδιωδικῶν κεχρῶσθαι τὸ εἶδος, κατ᾽ οὐδὲν ἄρα ἴδιον, καθὸ δηλονότι τὸ ὑπὸ τοῦ νοῦ δυνάμενον ὅπως δηποτοῦν λαμβάνεσθαι. ἐκ γὰρ τοῦ ᾧ ἐςιν, ἢ ὅπερ ἐςὶν ἐγκεῖσθαι, ὅθεν καίτινες ἀπὸ τῶν ἀριςερῶν λαγίνων τὰς ἀφορμὰς ἐξαντλοῦντες, ἐκ τῆς ἀφετεριχῆς διοπτίας τὰ παραδείγματα διδόασιν, ἅπερ οἷα σκιαὶ σωμάτων παρέπονται. εἰ καὶ ἡ παίδευσις καὶ τὸ ἔθος ἰσχὺν ἔχουσι φύσεως, ἐξ ὧν πάντως συμβαίνει, τῶν ἀπὸ νεότητος ταῖς ψυχαῖς ἐντετυπομένων, οὕτως ἰσχυρῶς ἔχεσθαι, οἷα εἰ φυσικῶς ἂν καὶ καθ᾽ ἑαυτὰ ἦν φανερὰ, εἰ τὰ καὶ ἡ τῆς οἰήσεως πρόληψις, ὕδρας τι πολυκεφαλώτερον καὶ χεῖρον θηρίον ἐπιφυὲν, οὐκ ἐᾷ τῷ μεγάλῳ φωτὶ ἀτενίζειν, μηδ᾽ ἀξέμεσιν ὄμμασιν τὰ ἀπόρρητα δοξάζειν. ἀλλὰ τὴν τῆς φιλανθρωπίας ὑπερβολὴν, ἀσθενείας ὑπερόχῳ φαντάζονται. ὥσπερ οὖν ἐσχάτης ἂν ἦν μανίας, εἴ τις ἰδιώτης ὢν, τὰ παρὰ φιλοσόφου προβαλλόμενα, ψευδῆ πάντως ἐνόμιζεν, εἰ ταῦτα νοεῖν οὐκ ἠδύνατο, οὕτω καὶ πολλῷ πλέον ἐσχάτης ἀμαθίας ἐςὶν, εἴ τις ἃ θεόθεν ἀγγέλων διακονούντων ἀπεκαλύφθησαν ὑποπτεύοι ψευδῆ. ὅτι μὴ λόγῳ δυνατὸν τὰ τοιαῦτα ἀνερευνᾶσθαι. ὁ γὰρ ἡμέτερος νοῦς οὕτως ἔχει πρὸς τὰ τοιαῦτα, ἃ φανότατα τῇ ἑαυτῶν φύσει εἰσὶν, οἷα δὴ τὰ τῶν νυκτερίδων ὄμματα πρὸς τὸν ἥλιον, καὶ ταῦτα ἐμποδὼν καθι-

θιςάμενός τισι μὲν ὁ δεσμὸς τȣ̃ σώματος· ἄλλοις δὲ ἡ ἁπλῶς λεγομένη ἀνάγκη. πολλοῖς δὲ καὶ ἐξ ἀμελίας καὶ ῥαθυμίας γένοιτ᾽ ἂν ἡ εἰς ταῦτα ζημία, ὥς τ᾽ ἄνευ τῆς ἄνωθεν ῥοπῆς ἐπὶ τὴν τοιαύτην τῆς ἀληθείας ζήτησιν ἀδύνατόν ἐστιν ἐλθεῖν. ἀλλ᾽ ἐλάχιστοι παντάπασιν, ὑπιέναι ἐρῶνται καὶ τῇ τῆς αὐτῶν φύσεως εὐφυείᾳ, ὡς θ᾽ ὑπολαμβάνειν τῇ ἑαυτῶν γνώσει, δύναθαι πᾶσαν τὴν τῶν πραγμάτων οὐσίαν μετρεῖν. καὶ τὸ δοκȣ̃ν αὐτοῖς, νομίζοντες εἶναι πᾶν ἀληθές. τὸ δ᾽ ἐναντίον ὃ μὲν δοκεῖ ψεῦδος καὶ τοι τὴν ἀγαθὴν ἔφεσιν, ἐν ταῖς τῶν ἀνθρώπων διανοίαις τȣ̃ θεȣ̃ φυσικῶς ἐγκατιδρύσαντος, καὶ διὰ τȣ̃το, οὔτ᾽ ὀρθῶς τὰ πράγματα τάττονται, οὔτε καλῶς διοικȣ̃σιν, ἐπειδὴ ἁπάντων πρός τι τέλος τεταγμένων, καὶ τῆς τάξεως τὴν κλῆσιν ἀνάγκη πρὸς τὸ αὐτὸ λαμβάνεσθαι. τότε γὰρ τῶν πραγμάτων ἕκαστον ἄριστ᾽ ἂν διατεθείη, ὅταν ἁρμοττόντως πρὸς τὴν οἰκίαν τίθεται τάξιν, καὶ τὴν ἰδίαν ἀπλανῆ φυλάττει προσηγορίαν, διὸ καὶ πρὸς τὴν τοιαύτην ἀναξοπὴν καὶ τὴν τῆς ἀσάρτης καὶ τȣ̃ χαμαὶ βδελύγματος καθαίρεσιν καὶ ἡ θεία σοφία σάρκα ἐνδῦσα, ἑαυτὴν ἐληλυθέναι μαρτυρεῖ. ἐγὼ εἰς τȣ̃το ἐλήλυθα καὶ εἰς τȣ̃το γεγέννημαι εἰς τὸν κόσμον, ἵνα μαρτυρήσω τὴν ἀλήθειαν. ὥς τε καὶ καινὸν ὄνομα δέδωκε, καὶ πάντας διδακτȣ̀ς θεȣ̃ πεποίηκε. καὶ εἰς καινὸν πολιτείαν κατέστησε, καὶ τȣ̃το δηλότερον ἢ τὰ πράγματα τȣ̃ εἶναι ἔχει, θάτερον ἄρα τῶν ἐναντίων προσείεσθαί σε δεῖ φίλαπτε,

τε,

τε, καὶ τὸ λοιπὸν ἀποθεῖσθαι, τὸ τῆς ἀληθείας ἐναντίον, ἀφορίζεσθαι ψεῦδος, ὃ τῇ εὐλαβείᾳ πάντως ἐναντίον ἐστὶν. ἥτις δεῖ καὶ εὐσέβεια ὀνομάζεται, καὶ τοὐναντίον τῷ ψεύδει, τὸ τῆς εὐσεβείας ὄνομα κεῖσθαι καὶ ἐν οἷς ἀγαθοῖς ἐσπαργήνωσαι, καὶ πρὸς ἀγαθὸν ὑψιλότερον ὑπὸ τῆς θειᾶς προνοίας τετάχθαισε νοοῦμεν, ὡς τε καὶ τὸν νῦν ἔδει πρός τι μεῖζον ἀνακληθῆναι τούτων. ἐφ' ἃ δυνατὸν τὸν λόγον φθάνειν ἐν τῷ παρόντι, ἵν' οὕτως ἐπιθυμεῖν, ἀλλ' οὐ τῇ μαθήσει, καὶ τῇ σπουδῇ πρὸς ἄλλο τι τεθῆναι ὃ τὸ τῆς παρούσης ζωῆς καὶ πάντα εἴδους ἐστὶν ἐπέκεινα, καὶ τοῦτο μάλιστα ὀρθοδόξῳ καὶ ἀνοθεύτῳ δόξῃ, ᾗ τις τὰ πνευματικὰ καὶ αἰώνια ἀγαθὰ ὑπισχνεῖται, ἵν' ὥσπερ οἱ πυῤῥήνως διὰ τοῦ τῶν δακτύλων πιέσματος πρὸς οὐρανὸν ἀφεθῆς οἷα ἢ βέλος ἐντέχνου τοξότου χειρὶ πρὸς τὸν ἄνω σκοπὸν ἀποπεμφθῆς, καὶ τὸν ἑρμὴν ἐς τὸ παντελὲς ὁ θεῖος καὶ πρῶτος λόγος ἀναιρήσειται, καὶ ἀπὸ κινήσεως εἰς στάσιν μεταστρέψειε τὴν σὴν πολιτείαν, ἵνα μὴ τιχωλαυῆς ταῖς ἰγνύαις παρ' οὗ πᾶν δώρημα τέλειον καταβαίνειν εἴωθεν ἐφ' ἡμᾶς. ταῦτα τοίνυν ἔγωγε, ὁ πρὸς τὴν σὴν ψυχὴν ἀνακεκραμένος διὰ τῆς καλῆς ἐπιστολῆς, καὶ θείῳ πρὸς σὲ ἀνήφθην πυρὶ, καὶ διαπέφλειγμαι πρὸς σὲ τὴν καρδίαν, ἐξηρεύξάμαι εἴπως ἐνῆν καὶ αὐτὰς ἂν σοι τὰς πνευματικὰς δέλτους ἀνέωξα. καὶ ἀποκαλύψασθαι τὰ κρύφια. τοῦτο δὲ τῆς πρώτης φιλοσοφίας ὅρος ἐστὶ, καὶ τῶν ὑπὲρ ὑμῶν ἐχόντων. ἡμεῖς δὲ κά-

τόπε ϗ πρὸς τὴν ὑπωρείαν βαδίζοντες, ὡς οἷόν τε ἦν τὸν πόθον ἐνεδείξαμεν, σὺ δὲ ταῦτα πίστευε, ἄρξαι, δράμε, διακαρτέρησον, ϗ εἰ μὴ φθάσης, ἀλλὰ τόγε προκόψαι ἡδύ. ὃς γὰρ εὐσεβῶς ἀνιχνεύει τὰ ἄπειρα, εἰ ϗ ποτὲ μὴ ἐπιτυγχάνοι, ἀεὶ μέν τοι προκόπτει τῷ προϊέναι, ϗ ταῦτα τῷ μέλλοντι ταμιεύεσθω πνεύματι. εἴης ἐν ἐρρωμένος. ὑγιαίνων ψυχῇ τε ϗ σώματι, τῆς θείας σοι χάριτος ἀεὶ συνεργούσης, εἰς ἅπαν ἀβέλητον, τιθεμένης ἀτέλεστον. ποσειδεῶνος θ' ἀρχομένου.

Θεοφάνης α.... μιχαήλῳ ... ἑρμοδώρῳ τῷ ληστάρχῳ.

ΟΥ' μὴν ἐγώ γε κόρον ὀψὲ λαβεῖν σε τῆ βασκαίνειν, βεγενὲς ἀνδρόπωρον κατ' ἐμπεδοκλέα, ἢ μᾶλλον ἐρεῖν, κάμηλον ἄρα μόλις ταῖς καθ' ἡμῶν κακηγορίαις ϗ τὰ πρὸς ἡμᾶς πράγματ' ἔχειν, ϗ διαπληκτίζεσθαι τὸν ἀεὶ χρόνον ἐνέξει λαβόντα τὸ κακορραφεῖν, ϗ ἤδη λοιπὸν ἐννεάσαντα. ϗ γὰρ καὶ πάντων εἶναί φασί τῷ χρόνῳ κόρον, καὶ ἥ γε τοιαύτη κατ' ἀνθρώπων σπεδὴ ϗ τῆ βίου πρόθεσις ϗ ἅμιλλα, τωόντι καματηρὸν καὶ πολύμοχθον. ἐπεὶ δ' ἔοικας τὸν παλαιὸν ἡμῖν ἀποδεικνύειν ἀληθῆ λόγον, ὡς ἄρα οὔποθ' ὁ φθόνος γηρήσκει, ἀλλ' αὔξει μᾶλλόν γε μὴν τῇ ἡλικίῃ ϗ συμπρόεισι, καὶ συντάττει σοι καθ' ἡμῶν ἐπισολί-

λίθεια ἀπρεπῆ, πάσης ἀμαθίας καὶ ψεύδους καὶ ἀναισχυντίας ἔμπλεα δοκεῖ βέλτιστον. καὶ οὐκ ἂν ἡμᾶς ἀπεικὸς εἴη δευτέρους ἐπιόντας ἀμύνασθαι, κἂν εἰ παρὰ φύσιν καὶ παρ' ἔθος τοῦθ' ἡμῖν ὡς ῥάδιον καθορᾶν τοὺς εἰδότας ἡμᾶς νῦν δὴ θ' ἡμᾶς ἐκβιάζῃ δοῦλος ἐγγενέτης καὶ ἀνδραπόδου ἀτιμίας, μεγάλα καθ' ἡμῶν βουλόμενος ὡς δ' ἀμέλει δοκεῖς καὶ δυνάμενος, ἔξω τῶν ἡμῖν εἰωθότων πειρᾶσθαι, ἀπόποιμεν τ' ἂν εἴημεν καὶ παντάπασι βραδεῖ; καὶ ψυχροί τινες τὴν γνώμην, εἴ σου μή τι γε εἰδότος λέγειν. ὅμως γε μὴ καμόντος ἐν τοῖς πικτοις, ἀλλ' ἀεὶ θερμότερον ἐξάπτοντος καὶ φιλοπονοῦντος τῷ καθ' ἡμᾶς φθόνῳ, ἡμεῖς ἰσχυρότεροι πρὸς τὸ λέγειν ὄντες, καὶ δικαιότεροι πρὸς τὸ μάχεσθαι, καθάγε καὶ σύ, εἴπερ καὶ διάβολος καὶ συκοφάντης κατὰ τὴν πρόσκλησιν τὴν σὴν ἐπιφαίνῃ τοῖς ἐμοῖς, ἀλλ' ὅμως καὶ ἄκων προσμαρτυρήσεις. οὐ γὰρ σκιαμαχεῖν ἡμῖν ἀτεχνῶς συμβαίνειν καθάγεσοι, κατιδόσιν ἀκριβῶς, ἄττασοι τῇ ῥαφίδι τὸ θράσος καὶ ὁ φθόνος μεταμανίας κατέρας ἐχορήγησεν. ἀφίκετο γὰρ πρὸς ἡμᾶς ἐκεῖθεν, ὅθεν ἀπέστειλας ἐκεῖνο σου τὸ μιαροψευδογραμμάτιον. καὶ θαυμάζειν μοι ἔπεισι πῶς εἰς τοσοῦτον ἀναιδείας χωρῇ, τυφλὸς ὢν ἄντικρυς πρὸς τὰ καθ' ἡμᾶς, αὐτὸς δὲ κλέψειν ὑπολαμβάνων καὶ λήσεσθαι σοφιζόμενος, καὶ τί περὶ τούτων ἡμῖν ἔμελλε. τί δὲ δικαίως ἐντεῦθεν ἦν ἡμῖν δυσχεραίνειν, εἰ μὴ συνῄδειμεν ἑαυτοῖς οὕτω

χω-

μένοις ὥσπερ ἂν εἰ καὶ καταμεθυόντων, ἢ κλεπτῶν, ἢ ἄλλων ὧν τινων οὖν φαύλων, αὐτὸς μὲν ἐγγραμματίζες προδιδάσκων ἀρετὴν ἀνθρώποις, βαρὺ δ' ᾤοντο τοῦτό τινες, οἳ συνήδεσαν ἑαυτοῖς ἐνεχομένοις τῇ κακηγορίᾳ. περὶ μὲν οὖν ὧν τῇ ἀληθείᾳ συνηγορήσαμεν καὶ συνηγοροῦμεν, διδασκαλικῆς παρὰ τῆς τοῦ θεοῦ μεγάλης ἐκκλησίας τυχόντες καθέδρας, καὶ θεοκύρηκος σφραγῖδα τῇ τοῦ πλεταρχικοῦ πνεύματος φωτιστικῇ δυνάμει σφραγισθέντες, καὶ ἔτι συνηγορήσομεν θεοῦ διδόντος ἡμῖν πρὸς τοῦτο τὴν δικαιείαν, κἂν εἰ σοίγε παντάπασιν ἀνιαρῶς προσποιῆται, καὶ μέσην πλήττομεν σοι τὴν καρδίαν ἐκ τούτων, καὶ ξυμπίπτειν αἴτιοι σοι γιγνόμεθα πλεῖστ' ἄχθη ἠθῶν μεζόνων, ὅσαι ἡμέραι σχεδὸν ἐπιφορτίζοντές σοι κατωμαδόν, ἀπ' ἄνθρωπε ἄνθρωπε, ὃν ἐξ ἀνθρώπων προώλην τε καὶ ἐξώλην γενέσθαι, καὶ πάσης ἀλλότριον δόξης, ἐφετὸν τοῦτο πάλαι σοι, καὶ πάντα τρόπον εἰς τοῦτ' ἐπόνησας, καὶ ἀεὶ πονεῖς καὶ πειρᾶς, περὶ τοίνυν τοῦ ἡμετέρου βίου, εἴτε ἀρετῆς αὐτῷ μέλει, εἴτε κακίας ὡς αὐτὸς λέγοις, ἄλλοις πιστεύειν ἐχόμην τὴν κρίσιν, τοῖς βέλτιον ἢ κατὰ σὲ κρίνειν δυναμένοις, καὶ ἀπαθέστερον, καὶ ἀποχρώντως ἐξ αὐτῶν ἔχοιμεν, καὶ στέργομεν οἷς ψηφίζονται· ἐρρέτω δ' ἄδρας, καὶ σύγ' εἰ βούλει μετὰ τοῦ σοῦ βραβευτοῦ ἑρμοῦ τοῦ παλιγκαμπήλου ῥήγνυσθαι συγχωροῦμεν, πιστεύειν δέ σοι τὴν περὶ τούτου κρίσιν, καὶ τῇ τῆς σῆς ἀβλεψίᾳ

βα-

βασκανίας, ὃ πρὸς ἡμῶν αὐτῶν ποιέμεθα, καὶ αὐτὸς σὺ, σοί γ' αὐτῷ ἣν ἂρ ὁ ποιῶν σωφρονῆς ὁκ ἂν πισδύοις τὴν περὶ ἡμῶν καὶ τῶν ἡμετέρων συνταγμάτων κρίσιν καθ' ἡμῶν μεμηνώς, καὶ τοῦτ' αὐτὸς σεαυτῷ κάλλιστα συνειδὼς, εἰ καὶ ὁπωσοῦν ἀναφέροις καὶ κρίνειν ἔχοις. ὅτι δ' οὐκ ἐφ' ἡμᾶς ἡ παρασκευή τοι ἐκ τῆς πρώτης ἐπιστολῆς, καὶ ὁ σκοπὸς ἦν ἐν σκότῳ βάλλων, εὐηθες ἂν εἴη σοι κομιδῆ, πειρᾶσθαι πείθειν καὶ κλέπτειν καὶ σοφίζεσθαι, καὶ μάλ' ἐπόνεις καὶ πονεῖς τῇ δεινότητι ταύτῃ τῆς βασκανίας καὶ ἀπάτης καθ' ἡμῶν. σὺ γὰρ εἶ ὁ πολλάκις ἀναιδεῖ καὶ πλατεῖ στόματι, κατατρέχων ἡμῶν ὀνομαστὶ, καὶ μὴ κρύπτων μηδὲ συσκιαζόμενος ἐπὶ πολλῶν μαρτύρων, οἳ παραχρῆμα τῶν σῶν λόγων, καὶ τῆς σῆς βασκανίας καὶ ὕβρεως ἡμῖν αὐτάγγελοι γίγνονται, καὶ μάλιστ' ἀπ' αὐτοῦ γε, οὐ παντάπασιν ἡ κρίσις ἀπειθὴς καὶ ἀδέκαστος, καὶ οὐ φειδῶ πάντως μεμνῆσθαι καθ' ἡμῶν ἐνεδρεύσεως, καὶ γέλωτ' ὄφλων, ὅτι δὴ μὴ ταῦτά σοι κατὰ τὸν λόγον, βουκολούμενον παιδίοις καὶ τοῖς ἐξ ἀγορᾶς εὐσύνοπτα, καὶ ἁλώσιμα καὶ συνήθη, σύ γε ὁ σκευωρούμενος ταῦτα, καὶ νύττων ἐξ ἀφανοῦς εἰ καὶ μὴ λανθάνοις τῷ τοῦ φθόνου κέντρῳ φθονούμενος λέγων, καὶ ἡμεῖς γ' ὅμως παρορῶντες δεῖν κρίνομεν, ἀλλ' ἐπειδή σοι μάλιστ' ἀναιδὲς στέρον καθ' ἡμῶν χωροῦντα, καὶ συγγραφαῖς ψευδέσι βάλλοντ' ἔγνωμεν, καὶ καθ' ἡμῶν τοὺς εἰδότας ἡμετέρους διδάσκοντα, οὐκ ἀνεκτὸν ἡμῖν

μὴν ἔδοξε τοῦ λοιποῦ φέρειν, οὐδ' ὥσπερ ἀγνοούμενον, καὶ ἀπρόσκοπόν σε κατὰ βούλησιν ἐνεργεῖν καθ' ἡμῶν συγχωρεῖν, ἵνα δὴ μὴ κἀντεῦθεν, ὑβρίζῃς μάλιστα καὶ περιττόν τι φρονῇς, ὡς νικῶν καθ' ἡμῶν καὶ περιγινόμενος καὶ βάλλων ἐξ ἀφανοῦς δοκεῖς ἀγνοεῖσθαί τε, καὶ λανθάνειν, ἀλλ' οὐ σύ γε, ὦ βέλτιστε, οὐχ οὕτω δεινὸς εἶ καὶ ἄληπτος, οὐδὲ λανθάνεις βασκαινῶν, οὐ δὲ λανθάνεις ἐντεῦθεν ἀκρατὴς ὢν σεαυτοῦ, καὶ διὰ τοῦτο μεθύων πολλάκις ἀκολασταίνεις, δῆλος γε ὢν καὶ νῦν εἶναι πλεῖστον ἀκραταθεὶς τῷ πάθει τοῦ φθόνου καὶ παραπαίων αὐτόθεν ἁλώσιμος εἶ, καὶ οὐ πολλῶν ἐλέγχων δεήμεθα, αὐτόθεν πολλὴν ἡμῶν τὴν ἑωλοκρασίαν τῆς παροιμίας καταχεόμενος, καὶ τὸ δὴ γελοιότον αὐτὸς μάλιστ' ἐνεχόμενος, οἷς καταμέμφῃ καὶ ἐπιτιμῶν, τῷ κακολέγειν ὑπ' ἀμαθίας νὴ τοὺς λόγους, καὶ ἀτέχνου καὶ ἀδιοικήτου τῆς χρήσεως, ἀλλ' ὅτι γε περὶ ἡμῶν σου τὸ βάσκανον καὶ πικρίας ἁπάσης μεστὸν, ἐκ τῆς σῆς βρυούσης καρδίας προῆλθε γραμμάτιον μανδραγόρα τινὰ πεποκὼς, ἢ τοῦ τῆς λήθης καταχῶν νάματος, ἐπιλέλυτε τῶν σαυτοῦ τῶν τ' ἐν Βενετίαις καὶ τῶν ἐξ ἧς ὡς ὁ πενθερός σου διεμαρτύρατο ἀληθέστατα, τί κρίνεις πρὸς ταῦτα περὶ σεαυτοῦ, τινὰ τὴν δίκην ἐπάγῃς; τίνα τὴν ποινην; ἐγώ σοι ἐρῶ δι' ὀλίγου, ἀραῖς ταῖς ἀνηκούσαις σοι, καὶ ἀθλίαις συνοδικαῖς πεδηθήσῃ τρὶς κατάρατον μίασμα. ὅπου γε μέλλει συναθροισθῆναι τὴν σύνοδον, εἴτ' ἐν

τῷ

τῷ ἁγιωνύμῳ ὄρει, εἴτ᾽ ἐκ Θεοῦ κἀκεῖθεν λήψῃ τὰ ἐπίχειρα τῶν ἔργων σου, τὰ γὰρ ἡμέτερα ἐπίδηλά εἰσιν τοῖς ἔνουσι ἡμῖν, καὶ οἷς σύνεσμεν πανταχοῦ, καὶ μάλιστα τοῖς πνευματικοῖς, ἐκ πάντων δὲ τῷ δεσπότῃ μου τῷ οἰκουμενικῷ πατριάρχῃ, καὶ τότ᾽ ἐπιδηλότερα γενήσονται ὅτι αὐτὰ βοᾷ τὰ πράγματα τοῖς δεικνύουσι, κἂν σὺ μὴ ἀκούοις, ἐπιφράττων τῷ περὶ τούτου κρότῳ καὶ τῇ βροντῇ ταῦτα, καὶ ὅσον αὐτὰ τὰ περὶ ἡμᾶς δῆλον ποιεῖται τοῖς ὁρῶσι κἂν εἰ σὺ μὴ ὁρῴης μύων ὡς εἴρηται βασκανίᾳ τῷ ὀφθαλμῷ καὶ ἄχθη πιέζοντάσοι τὴν καρδίαν ταῦτα δοκεῖς, ἀλλὰ καταπάσοις τὴν ὀφρὺν καὶ τὸν φθόνον καταθήσοις οἶδα τάχεως, ἔδει γάρ σ᾽ ἐπιγνώμονα εἶναι τῆς σαυτοῦ ἀμαθίας, καὶ πονεῖν μανθάνειν εἰ καὶ ἀπηλάκτησας, καὶ πειραθῆναι ἡμῶν εἰ οἷοί τ᾽ ἐσμὲν καὶ τοὺς ὑπὲρ σὲ διδάσκειν, ὥσπερ σὺ πάλιν τοὺς ὑπὸ σοῦ, κἂν εἰ μὴ σύ γε περὶ τούτων οὕτω δόξῃς, καὶ συγχωρήσαις μέγιστα τῆς σοφίας εἶναι ταῦτα καὶ οὐ τῆς γραμματικῆς. φάσκειν σε τοῦ λοιποῦ μαίνεσθαι, καὶ περὶ τὰ μηδενὸς ἄξια λόγου, καὶ φαῦλα μάτην πονεῖν καὶ ῥείβειν. ἐπεὶ δὲ οὐχ οὕτω πεποίηκας ὡς ὑπαμὸς ἐξ ἀμαθίας καὶ ἀσωφρόνιστος δοῦλος ἐκείνου τοῦ λασκάρεως, τὰ ἄνω δὲ καταδεικνύεις καὶ πάντα συγχέεις μὴ εἰδὼς τὸ βέλτιστον, ὡς οὐ μή ποτε τοῦτο φαίνῃς ἂν ἀριστοτέλης μέν γ᾽ αὐτός φησι ἐν τοῖς μετὰ τὰ φυσικά, ὡς αἱρούμεθα ἑτέραν πρὸ ἑτέρας, ἐπιστήμην ἐπιστήμης, τῷ ἀκριβεστέραν εἶναι ἄλ-

 λω

λῳ ἄλλης ὡς τῷ βέλτιον καὶ τιμιωτέραν εἶναι τῶν ὑποκειμένων. ὁ δὲ πλάτων, ἀνὴρ ἀλλ' ἄλλων πολλῶν τε καὶ ἐν πολλοῖς τοῦ αὐτοῦ ἄγ' ἐν τῇ ἐπινόμιδί φησι οἶδας πάντως καὶ ἀκούωστε, ἃ καὶ μέρος διεξίεις, πᾶν διάγραμμα καὶ ἀριθμοῦ σύστημα καὶ ἁρμονίας σύστασιν, ἅπασαν τὴν τε τῶν ἄστρων περιφοράν, ἀναλογίαν ποίαν οὖσαν ἁπάντων σαφῶς, οὕτωσὶ λέγει τὸν περὶ τῶν μαθημάτων ἐπιστήμονα, ὧν καὶ ἡμεῖς ἐπιστήμονες, ὡς εἴτις ἄλλος, ἀλλ' οὕτοι, σὺν θεῷ ὁ λόγος καὶ σὺ βάσκαινε καθ' ὅσον οἷός τ' εἶ. οὐ δὲ τῷ αὐτῷ βιβλίῳ τὸν περὶ τῶν ὀκτὼ σεπτῶν, ὡς αὐτός φησι οὐρανίων περιόδων θεωροῦντα, ἀλλὰ μὴ καὶ τὸν ἡσίοδον τούτους γεωργικοὺς, καὶ ναυτικοὺς οἵους τοὺς κατάστε βαναύσους, ἀνατολάς τινας καὶ δύσεις ἀστέρων πρὸς τὸ καίριον τῆς χρείας ἐπιδιδάσκοντας, κατ' ἐμπειρίαν δήτινα ταύτην ἀναλόγισον. ὧν ὅτι γε ἡμεῖς ἀλλόξιοι καὶ τυφλῷ δῆλον, κἂν εἰ μὴ τῇ σῇ βασκανίᾳ ἀλλ' ἡμῖν μὲν ἄχρι τοῦδε συγγραφέσθω, βραχέως δὴ ἄττα πρὸς μακρὰ τὰ σά τάγε καὶ ὡς ἡμᾶς ἥκοντα, ἡμῖν μέν τοι καὶ ταῦτα ἀπέχρησεν ἐμφῆναι σου τὴν ἀμαθίαν, καὶ ἅμα διανοίας τὸ φαυλὸν, πρὸς δὲ τὸ ἑξῆς, τὸ περὶ τοῦ οὐ διττοῦ σοι τῆς κινήσεως, ἡμεῖς φαμεν οὐδὲν, ἄλλοις δὲ παρίεμεν αὐτοῖς καὶ τῶν ἐκείνων σου καταγελᾶν, καὶ δὴ ἀντίγραφε καὶ μάλα θαρρῶν ὡς ἡμᾶς οὐκέτι οὐδοτιοῦν πρόσγε τὰ σὰ ἀντιγράψοντας. ἴσμεν γὰρ ὡς ὅσαν ἂν πλείω γράψῃς, τοσοῦτον καὶ μᾶλλον ἀσχημονήσεις, εἰ δέτισι καὶ

δό-

δόξεις τί λέγειν, ὅτι οὐκ ἄλλοις ἢ ἀμαθέσι τε ὁμοῦ καὶ μωροῖς δόξεις, οἳ δὴ μάλα ἴσμεν, οἷον ἡμῖν ἀνδρῶν τῆς δόξης οὐ πολύ τι μέλλει, ἀλλ᾽ ὅτι δὲ ἂν βλασφημήσῃς, ἡμῶν μὲν οὐχ ἅψῃ, οὐ γὰρ οὐδ᾽ ἡμῖν προσόντα ἐρεῖς, φλυαρήσει δὲ τὴν ἄλλως, καὶ σαυτὸν μόνον ἀσχημονεῖς τὴν σαυτοῦ σκαιότητα καὶ ἔτι μᾶλλον ἐπιδείξαι, ἡμῖν δέ σου τὰ τοιαῦτα ἴσα καὶ κυνα μελιταίου τινὸς ὑλακαῖς λελόγισταί τε ἤδη, καὶ αὖθις λογισθήσεται, καὶ ἑτέροις ἀσφαλισθήσεται τὰ κατὰ σὲ ὡς δεδήλωται. μεταγειτνιῶνος ζ´ φθίνοντος.

...... Χῖος (1) Μιχαήλῳ τῷ σοφικῷ εὐπράττειν.

(1) Hic forte est *Hippolytus* Chius, cuius alias litteras superius edidimus.

Ἐς ῥώμην ἐληλυθὼς ἄρτι, μόγις ὀφθαλμοῖς ἐπειθόμην τήν τε πόλιν καὶ τοὺς ἐνοικοῦντας σκοπῶν, καὶ τὰ πάλαι περὶ αὐτῶν τεθρυλλημένα αὐτοῖς παραβάλλων, οἷα γὰρ ἐξ οἵων, ἀλλὰ ῥώμην μὲν καὶ ῥωμαίοις ἐάσομαι, οὔτε γὰρ ἐν πολέμῳ κατάγει τὸν ποιητὴν (Scholion, ἴσως λείπει ἐναγέθμοι οὔτ᾽ ἐνὶ βουφῇ) περὶ δὴ τῶν νῦν κατ᾽ αὐτὴν δυναστευόντων, ὡς εἰκὸς ἐπιστέλλοντα, συντόμως ἐρῶ. ἄνδρας οὖν ἴδοις ἂν (εἴ γε δεῖ τοὺς τοιούτους ἄνδρας καλεῖν) λόγῳ μὲν ὅσιον ἐπαγγελλομένους βίον, ἔργῳ δὲ ἀ-

ἁπάσης κακίας ἰδέα προσεῖηκότως· καὶ δεινοτάτως ἀρετῆς ἐχθρὺς. ἀφικνείσθω γὰρ ἐς ῥώμην γανυμήδης τις, ἢ καλὸς ἐνδυμίων, κἂν πένης, κἂν ἀγενὴς, κἂν ἁπάσης ἀρετῆς ἢ πόῤῥω, λίθοις πολυτελῆ ἐνημμένος ἐσθῆτα, καὶ πᾶσι περίοπτος, ἐφίππυτε ἰβηρικοῦ ἢ καμπανῦ διὰ τῆς πόλεως ἐποχέμβος, καὶ παντοδαπῶν οἰκετῶν πλῆθος ὄπισθεν ἄγων ὀφθήσεται. πλάτων δέ τις ἢ σωκράτης, πολλῷ χρόνον πενίᾳ τε καὶ ταλαιπορίᾳ συμπαλέσας, τέλος ὑπ' ἀμηχανίας μακρᾶς φθίζεται. εἰ δὲ τις καὶ μικρόν τι παρὰ τῶν σεμνῶν τέτων εὐεργετεῖται, καὶ συκελῆς, ἢ συβαριτικῆς ἀξιοῦται ξαπέζης, κολακία μᾶλλον ἢ σοφία τούτυ τυγχάνει. καὶ γὰρ ὁ φιλαλήθης καὶ μὴ κολακεύειν εἰδὼς, ὡς ἐναγής τι καὶ ἀποξόπαιος παρὰ τέτοις μισεῖται, ὥστε βοᾶν μοι καὶ σχετλιάζειν πρὸς τὸ θεῖον ἔπεισιν, ὅταν ἴδω ἄνδρας καλὺς τε κἀγαθοὺς, καὶ ἐς τὰ μάλιστα σοφὺς, πήμω ἱματίῳ πονηρῷ καὶ κατατετριμμένῳ ἐνειλημμένυς καὶ τῶν ὑπὸ δημάτων ἐνίοτε διασπασθέντων τὸς δακτύλης ἐκφαίνοντας, τῆς δὲ καὶ τῆς ἀναγκαίας τροφῆς ἀπορουντας, καὶ ὀλίγου δεῖν προσαιτεῖν ἠναγκασμένους, ἀλλ' ἐμοὶ μὲν ὅλος, ὦ καλὲ μιχαῆλε, ἐν ἑαυτὸς ἐκ ἀρκέσειεν ἂν τὰς τῶν ξισκακοδαιμόνων σπεδαίων ἐν ῥώμῃ συμφορὰς δεξιόντι. σοὶ δὲ μὴ γένοιτο τὴν πάτρωαν ἐλευθερίαν, ὑπὸ σφαλερᾶς ἐλπίδος καὶ κοινῆς φιλοτιμίας προδόντι,

οὐ-

τούτῳ δουλοπρεπῆ καὶ ἀνελεύθερον ἑλέσθαι βίον. ἔρρωσο, ἐκ ῥώμης ἰουλίου ϛ'. ἱσταμένου.

Ἰωάννης σεπρῶ ῥωβέρτῳ εὖ πράττειν.

ΤΗν μὲν ἐπιείκειαν τὴν σὴν, ὦ θαυμάσιε, καὶ περὶ τοὺς λόγους ἐμπειρίαν, τοῦτο μὲν παρὰ πολλῶν πυθόμενος ἔγνων, τοῦτο δ' ἐντυχὼν σοι κἀγὼ καὶ προσδιαλεχθεὶς, καίπερ ὀλοχρονίου γενομένης τῆς ἡμῶν συνουσίας, ἱκανὸν μὲν οὖν καὶ τοῦτο φύσιν ἀνδρὸς ἀγαθοῦ παραστῆσαι. ἐμοὶ δέ σου τάτ' ἄλλα, καὶ τῶν λόγων ἡ χάρις, καὶ τὸ ἀφελές σου καὶ κόσμιον τοῦ τρόπου τοιοῦτον ἐξήνεγκε δεῖγμα τῆς σῆς καλοκαγαθίας, ὥστε με ὑπὲρ ἀγαπᾷν σε ἤδη καὶ θαυμάζειν. κράτιστῳ δὲ καὶ πρός τ' ἄλλα αὐτοῦ πρός με εὐεργετήματα, πλείστην χάριν εἰδέναι τῷ τοιαύτης ἐμοὶ φιλίας αἰτίῳ γενομένῳ, νῦν δ' αὖθις τὴν σὴν ἐπιστολὴν ἐκομισάμην, οὐ μόνον ἐθαύμασα ἀλλὰ καὶ ἐναβρυνόμην, ἡρακλεῖς λέγων ὡς πολλή τ' ἀνδρὸς ἡ κομψότης καὶ μεγαλόνοια. καίσοι μαδία οὐ μάτην ὡς γράφεις, ἀλλ' ἕνα τῶν παλαιῶν ἐν τοῖς ἔχρησοι κέκεικα, πῶς τ' οὐ; ὅς τις καὶ παρ' ἕλλησι καὶ λατίνοις τοσοῦτον πηγὴν νέκταρ ἀφθόνως ἐξέχεας, καὶ οὐκ ἔστιν ἐφ' οὕτις ἀφικόμενος οὐκ αἰεὶ τὸ σὸν ὄνομα ἐπὶ σοφίατε, καὶ ἐπιεικείᾳ, θρυλλούμενόν τε καὶ ὑπερεκθυσιαζόμενον, καί τοι τὸ μὲν περὶ τὴν πάτριον εὐδοκιμεῖν φωνὴν, καὶ

μὴ τοῖς ἄλλοις ἐξίσου καθίσασθαι. μέγα μὲν καὶ λαμπρόν, οὐ παράδοξον δ᾽ ἴσως, τὸ δὲ περὶ τὴν ξένην ὡς ἄν τις εἴποι, καὶ τοῖς πλείστοις ἄβατον, λέγω δὲ τὴν ἑλληνικὴν, τοσοῦτον διενεγκεῖν, ὥς τε τὰ μὲν ἐπανορθοῦσθαι τῶν βιβλίων, τὰ δὲ τυποῦν καὶ ἐξηγεῖσθαι, ἀλλὰ ψυχαγωγεῖν καὶ διασαφεῖν αὐτῶν, ἑλληνικῶς τε φράζοντα, δοκεῖν ἐν τῇ μεσογείᾳ τῆς ἀττικῆς τραφῆναι, τοῦτο ἤδη πάσαν ὑπερῆρεν θαύματος ὑπερβολὴν, οὐχ ἥνικα δὲ πρός τ᾽ ἄλλα σου ἀγαθὰ καὶ θεῖα δωρήματα, μακαρίσειε δ᾽ ἄν τις, καὶ τοῦτο, ἀποδημήσας γάρ σου τῆς πατρίδος καὶ ἐπὶ ξένην ἐλθὼν ἀνδρὶ τοιούτῳ καὶ τηλικούτῳ συντυχεῖν ἠξιώθης, λέγω δὴ τῷ πάντως σοφῷ νικολάῳ τῷ κρώσσῳ. τῷ ὄντι γὰρ ὁ ἀνὴρ οὗτος, εἰκώντις ἐστὶ καὶ εἴδωλον τῆς παλαιᾶς ἑλλάδος, καὶ τῶν ἐπὶ λυκούργου καὶ δημοσθένου ἄξιος συνεξετάζεσθαι, τοῖς ἐλλογιμωτάτοις, ὡς καὶ σὺ φῂς αὐτὸν μέν τοι διὰ θαύματος ἄγειν καὶ ὑπερεπαινῶν, ὦ ῥωβέρτε, κοινὸν ἔμοι γε πρὸς τοὺς ἄλλους ἅπαντας τῶν ἀνθρώπων ἐστὶν, οἷς αὐτὸς τοῦ εὖ λέγειν αὐτὸν τὰς ἀφορμὰς ὁσημέραι καλοκαγαθίᾳ καὶ τρόπων χρηστότητι παρεχόμενος, δίκαιός ἐστι καὶ παρ᾽ ἐμοῦ τοῦτον ἀπολαμβάνειν τὸν ἔρανον οὐ ῥᾳδία τοῦ χάριν οὐδεμίαν ἀποδιδόναι αὐτῷ πειρωμένου διὰ ταύτων, οὐδ᾽ ἐν ἐπαινέτου τάξιν καθισάντος ἐμαυτόν. οὐχ οὕτως ἀνόητος ἐγὼ, ὥς τε μὴ τιμῆς ἁπάσης κρείττω ἡγεῖσθαι τὰ κατ᾽ αὐτὸν, ἄλλῳ μὲν γὰρ ἄλλοτι τῶν δοκούν-

των

των εἶναι καλῶν ἔδωκε, φασὶν, ὁ θεὸς, ὧν ἐφ᾽
ἓν ἡγήτῳ σεμνύνεσθαι καὶ μεγαλαυχεῖν ἔξεστι
τῷ κεκτημένῳ δικαίως, αὐτὸς μέν τοι καὶ ταῦτα
πάντα συλλαβὼν ἔχει, ᾧ πατρίδα μὲν συνέ-
βη λαχεῖν τῶν ἐν ἑλλάδι πόλεων ἐκ τῶν δια-
σημοτάτων, προγόνοις δὲ χρήσασθαι τῶν πολι-
τῶν τοῖς γνωριμωτάτοις, χρημάτων δὲ περιου-
σίαν καὶ πλοῦτον, ἄλλος μὲν ἄν τις θαυμάσειε
τῶν ἀτοπώτερον διατεθειμένων. αὐτὸς δὲ τὸν ἀ-
ληθινόν τε ἅμα καὶ ἀκέρατον πλοῦτον ἀσπασά-
μενος, τοὺς λόγους φημὶ, καὶ τὴν πολιτικὴν
φιλοσοφίαν, ἐφ᾽ οὕτω μέγα προὔβη ἀρετῆς τε
καὶ δόξης, ὥς τε τῆς ἐν λόγοις δεινότητος πα-
ρὰ πᾶσιν ὁμολογουμένως αὐτὸν τὰ πρωτεῖα
ἀνῃρεῖσθαι, καὶ ταῦτα μὲν ἔχω λέγειν ἐγὼ, ἅ-
περ ἐκ τῶν πολλῶν αὐτοῦ καὶ μεγάλων ἀξιωσε-
ων, οὔτε μέρος ἐστὶν, οὔτε πολοστημόριον. ἀλλ᾽
οἱ δὲ ὅσοι μου μουσικώτεροι καὶ εὐπορώτεροί εἰσι.
μείζονας αὐτῷ ᾠδὰς καὶ χάριτας ᾄσουσιν, ἃς
ἔχων διατελεῖ. ἐγὼ δὲ ποιῶ ἅτε δύναμαι. ἔρ-
ρωσο. ἐμὲ δὲ ἀσθενοῦντα καὶ πονήρως ἔ-
χοντα ἴσθι, ὁσημέραι δὲ καθαρτικῶν φαρμά-
κων γευόμενον, καὶ ἄλλα ποιοῦντα, οὐδεμίαν
δίδωσιν ἔκδοσιν, ἔνθα καὶ μικροῦ δεῖν ὑπό τε
τῶν μεριμνῶν καὶ τῆς συνεχοῦς ἀσχολίας κατα-
πέπηχ᾽ ὁ δήλαιος. τούτου δὴ χάριν, ὥσπερ ἔφ-
θην εἰπὼν, οὐδεμία σχολὴ οὐδὲ καταμικρὸν οὐχ
ὅπως τοῦ κόμψως γράφειν, ἢ ἄλλως περὶ λό-
γους φιλοτιμεῖσθαι. ἀλλ᾽ οὐδ᾽ ὅπως δὴ τοῖς φιλ-
τάτοις ἔξεστί μοι διὰ γραμμάτων ἐντυχεῖν. σὺ δέ-

μοι σύγγνωθι, τῷ μὴ σοι ἀποςείλαντι ἐκ τοῦ παραχρῆμα ἀποκριθῆναι, προιχομένῳ τὴν αἰτίαν τῆς νόσου, ἥ τις ἐςὶ πάθος παρ' ἰατροῖς, ἀπεψία, ἢ ὀξυρεγμένα, ἢ ὅλως ἀσθένεια ςομάχου καλούμενον, ὄγγος διαφῆς, καὶ μαλὰ δυσανατος. περὶ δὲ τῶν προσπεμφθέντων βιβλίων τοῦ πέτρου ἀνδρέου, εἴπερ εἰσὶ κίβδηλά τε καὶ πονηροῦ κόμματος, ὡς ἔφησθα, οὐκ οἶδα. σὺ οἶδα, ὅτι ἐκ τῆς ἑλλάδος ταῦτα παρήνεγκε, καὶ ὅτι διὰ τιμῆς ἦγεν, ἐῶ δὴ λέγειν ὅσον ταῦτα τετίμηκεν. ἡμεῖς δὲ τὰ πολλὰ ἐάσαντες χαίρειν, χρυσία δόσωμεν δέκα. σκούδα, παρὰ τοῖς κοινοῖς ὀνομαζόμενα καὶ τόσα δὴ πέμπετε, καίτοι γ' ἐκεῖνος τριπλάσια ἀπῃτήσατο. ςράβωνα, καὶ τὸν χρονογράφον, τὰ πρακτικὰ τῶν συνόδων, καὶ τ' ἄλλα μοι τῶν βιβλίων ὅσα ἐςὶν ἀξιόλογα, ἐγὼ πρὸς ὑμᾶς αὐτόθι ἀφικομένος, θεοῦ συλλαμβανομένου, παραθήσω τῷ ἐλλογίμῳ ῥήτορι, ὅτῳ καὶ τὴν ἐμὴν ψυχὴν ἀνεθέμην, τοῦτον μεθ' ὅσης ταπεινοφροσύνης, καὶ δουλοπρεποῦς τιμῆς, τὼ χεῖρε κύσον ὑπὲρ ἐμοῦ. προσηρήσθω καὶ νικόλαος ὁ ἡμέτερος καὶ μάρκος.

Ἐκ παταβίου, μουνυχιῶνος πέμπτῃ φθίνοντος.

Μητροφάνους ἀρχιερέως μονεμβασίας παρακίνησις πρὸς τὸν λαόν,

ΟἹ̓ Μαι μὲν ἡμᾶς, ὦ φιλόχριστοι, καὶ φιλόθεοι χριστιανοὶ, καὶ λίαν πιςότατοι τῆς πολυμνή-

λυμνήτυ ἡμῶν αὐθεντίας ἡ τῆς γεγενημένης εἰρήνης ἀγγελία, ὡς ἡ ἡμᾶς αὐτὰς κατέλαβε. καὶ διέθηκε τὰς ψυχάς, ὡς οἱ δύο γὰρ τζαυσιοι ἐνταῦθα παραγενόμενοι, ἔξειπον ὅτι παρὰ τῆ ἀσεβῆς τύρκυ ἀπεςαλμένοι εἰσὶν τῆ ἀποδιῶξαι ἕνεκα ἐκ παντὸς τόπυ τῆς ἐκ λαμπροτάτης ἡμῶν αὐθέντιας ὅσυς ἂν πειρατὰς εὕρωσιν ἐπιτέτυς, ἀποπέμψαι αὐτὺς ἐν τῇ ἀφρικῇ, τῆς εἰρήνης τέως δὴ γενομένης, ὡς μὴ ὤφελεν. ἐπὶ γὰρ ἡμέτερον κακὸν γέγονε. φασὶ γὰρ ὅτι τὴν δυςυχεςάτην φεῦ καὶ ξιπάλαινα πατρίδα ἡμῶν σὺν τῷ ἀθλίῳ ναυπλίῳ ὁ κάκιςἀπολέμενος τύραννος ὡς λύξον τε καὶ δώσει τὰς περιφανεῖς τ' ἂν κατέλλαβε πόλεις. οὔτε γὰρ πλῆθος χρημάτων, οὔτε τῶν πολιτιμήπων κτημάτων οὐδὲν, ὔτε πόλις ἑτέρα τὴν ἀδαμάντινον ἐκείνου ψυχὴν κατεμάλαξέ τε καὶ κατεπράυνεν ἀλλ' ὡς ἐγλυκύτατος διὸ καὶ μὴ θέλυσα ἡ γαλυνοτάτη ἡ φιλεύσπλαγχνος μήτερ ἡμῶν, φημὶ δὲ τὴν θεοφύλακτον αὐθεντίαν ἐλεείνῃ τῇ ψυχῇ παρεχώρησε μὲν τῦ λαβεῖν ἐκεῖνον τὸν ἄθεον τὰς πόλεις αὐτὰς οὕτω κενάς. ἡμᾶς δὲ ἅπαντας ἐπὶ τὰ κύθηρα ἐπαναξείητε ἡ μετοικίσειε. ταῦτα μὲν ἀκούσαντες παρά τε τῶν ἀθέων τύτων τζαουσίων, ἡ παρ' ἄλλων πολλῶν τῶν ναξίας ὧδε ἀφικομένων, ἐπὶ τὴν κεφαλὴν κόνιν ἤραμεν καὶ σπαραττόμενοί τε τὰς παρείας ἡ τὰς ξίχας τιλοῦντες ἐςίνομεν ὑποβρύχεια. οἴμοι τίς δώσει ὕδωρ τῇ κεφαλῇ μυ ἡ ταῖς βλεφάροις μυ πηγὴν

δα-

δακρύων. καὶ κλαύσομεν τὴν πάγκοινον ἡμῖν συμφορὰν, οἴμοι τῶν συμβάντων ἕνεκα. ἐν ἀπωλείᾳ γὰρ τὰ ἡμέτερα. καὶ γὰρ ἣν παρελάβομεν ἤδη παρὰ τῶν προγόνων. ἡμῶν φίλην πατρίδα ἁμαρτᾶσι φησὶ ἡμετέροις ἀπολέσαμεν ἔτι, οὐκ ἔτι δὴ πόλις ἡμῶν οὐκ ἔτι, ἣν βασιλεῖς ἱδρύσαντο καὶ πατριάρχαι συνεστήσαντο, καὶ συνόδοις ἁγίων πατέρων ἐκλέϊσαν, ἀπόλιδες δῆτα ἡμεῖς καὶ ἀπάτριδες, καὶ τίς ταῦθ᾽ ὑπομεῖναι δυνήσεται ποθεινῆς γενέσθαι πατρίδος ἐξώριστον, τίς ὑποδέξασθαι δυνηθείη ἐν τῇ αὐτῇ οἰκίᾳ μιαιφόνους τε καὶ ἀσεβεῖς τούρκους, οὐδεὶς οὕτως οὐδείς. ἀλλὰ κρεῖσσον σὺν τῇ πατρίδι θανεῖν. τίς λιθίνην ἔχων καρδίαν ἐξελθεῖν βουλήσεται, ἄρ᾽ οὐκ ἀκούσῃ τῆς φωνῆς ἑλκομένου χριστοῦ βοώσης μέγα, λαός μου, ποῦ πορεύεσθαι, ποῦ δ᾽ ἀπελθεῖν γε τολμᾶτε. τὸν ἐμὸν περικαλλῆ καὶ θεόδμητον ἀφέντες ναὸν τὸν γέμοντα

δόγματα ἀσεβείας διδασκάλων

σπήλαιον ἀνόμων λῃστῶν

ταῦτα μὲν ὀλοφυρόμενος στενάζων καὶ μεταξὺ ὀδυρόμενος ταυτὶ δήμου τὰ λύπης γέμοντα γράμματα ἐξέπεμψα, οὐ παρὰ ψυχῆς χάειν. τίς γὰρ ἂν λόγος εὑρεθείη τοσαύτης συμφορᾶς ἰατρός, ἀλλ᾽ ἵνα πᾶσαν ὄκνον ἀφέντες ἀναλάβητε τοὺς κόπους οὓς ὑπὲρ τῆς πατρίδος ἐλάβετε, καὶ μὴ ἀνάσχησθε ἀποσβεσθῆναι καὶ τὴν πίστιν, ἣν ἔχετε ὑπὲρ τῆς θεοδοξάστου ἡμῶν αὐθεντίας μὴ περιέσθητε τὴν πόλιν ἡμῶν. τί οὖν ποιήσαντες περισώσασθαι ταύτην, οὐ δέεσθε πάν-

τως

τως μαθεῖν, ἀλλ' αὐτὸ τὸ πνεῦμα τὸ ἅγιον ὑμῖν ὑποθήσεται. πλὴν τοῦτο ἀναμνήσκομεν ὅτι τάχους χρείας ἐστὶν τοῦ ἀποστεῖλαι ἄνδρας ἱκανοὺς ἐν τῇ ὑψηλοτάτῳ ἡμῶν αὐθεντείας ληψομένους χάριν τοῦ ἀπελθεῖν ἡμᾶς γοῦν ἐν ἄλλῳ τινὶ τόπῳ, ἃ μὴ γένοιτο κύριε, καὶ μὴ ἐς τὰ κύθηρα ἐπεὶ ἀνιαρὸς ὁ τόπος, καὶ λιμώδης τε καὶ πετρώδης, καὶ διψώδης τὰ μάλιστα, καὶ τὸ χεῖρον, οὐ βέβαιος, καὶ μετὰ τῶν ἄλλων καὶ τοῦτο δὴ μεῖζον πάντων κακὸν τὸ, ἐς παροικείαν πεσεῖν. εἰ γὰρ καὶ μὴ καταρχὰς οἱ παντ' ἐλευθεροίγε ἡμεῖς, ἀλλ' οὖν οἱ παῖδες ἡμῶν ἐπὶ τοὔντε ἔπειτα ἀναμφιβόλως πεσοῦνται, μέλλοντες τοῖς ἐκεῖ παροίκοις γάμῳ νομίμῳ διαζευχθῆναι. τίνα δὲ τόπον ζητήσομεν εἴποιτε, κατὰ τὴν τῶν πολλῶν ἀρίστων ἀνδρῶν γνώμην συμβουλεύομεν καὶ ἡμεῖς τὴν τῶν κορφῶν. ἐπιτήδιος γὰρ πᾶσιν ἡμῖν ὁ τόπος ἐκεῖνος, ὁ πολλοὺς οὐδοὺς ἔχων πρὸς τὸ ζῆσαι ἡμᾶς ἄνευ καμάτων πολλῶν. ἐξελέξατε οὖν ὅσον τάχος πρὸ τῆς ἐξελεύσεως ἡμῶν οὓς ἂν ἀξίους ὑμῖν ἄνδρας δοκεῖ περὶ τὴν   σὺν τούτοις δὲ ἔσω καὶ ὁ πάντα ἄριστος κύριος γεώργιος ὁ κορίνθιος, ἱκανὸς ὢν ἔργῳ καὶ λόγῳ τὰ μέγιστα ἡμᾶς ὠφελῆσαι, οὐκ ὀκνήσω δὲ καὶ αὐτὸν τὰ εἰκότα ποιῆσαι. πεύσατε δὴ κατὰ τάχος, οὐ γὰρ ὑπὲρ χρημάτων, οὐχ ὑπὲρ δόξης, οὐχ ὑπὲρ ἄλλου τινὸς πολεμοῦμεθα, ἀλλ' ὑπὲρ τοῦ προπατορικοῦ κτήματος τῆς προφιλεστάτης πατρίδος ἀλλὰ τί δεῖ τὸ αἷμα ὑμῶν ἐκχύσατε ταύτης ἕνε·

ἕνεκα. στῆτε φιλοπάτριδες, ἀδελφοί, καὶ τὰ εἰκότα ποιήσατε θελήματι τοῦ μεγαλοπρεποῦς ἡγεμῶνος ἡμῶν. ἀντιστάθητε τοῖς πολεμίοις καὶ μὴ ὡς κατάδικοί γε ὑποχωρήσετε, μείνατε ἐν τῇ πατρίδι οἱ καλοὶ τοῦ ἐλκομένου χριστοῦ ἀγωνισταί, μὴ ἀκηδιάσητε, καὶ γὰρ ὁ πᾶς ὁ κόσμος ἀφανισθήσηται μέλλει, τί θαυμαστὸν καὶ ἡμᾶς μέρος ὄντας τῷ κοινῷ πάθει ἀναμένουσιν ἡμᾶς οἱ τῶν μαρτύρων χοροὶ οἱ στέφανοι ἕτοιμοι τῶν ἁγίων, ἕτοιμαι οἱ τῶν ἁγίων χοροὶ ὑμᾶς ὑποδέξασθαι. οἶδα γὰρ ὅτι πάντες ἅγιοι διὰ μεγάλων πόνων τῶν στεφάνων κατηξιώθησαν. οἱ μὲν γὰρ ἐμπαιγμῶν καὶ μαστίγων πεῖραν ἔλαβον, ἄλλοι δὲ ἐπειράσθησαν, ἐπρίσθησαν, ἐν φόνῳ μαχαίρας ἀπέθανον. μακάριος τοίνυν ὁ πλεονάσας ἐν τοῖς παθήμασιν ὅτι οὐκ ἄξια, τὰ παθήματα τῶν νῦν καιρῶν πρὸς τὴν μέλλουσαν δόξαν εἰς ἡμᾶς ἀποκαλυφθῆναι. εἰ μὲν οὖν ἦν δυνατὸν αὐτόν με παραγενέσθαι, οὐδὲν ἂν ἔγραψα ἡμῖν, ἀλλ' ἐπεὶ οὐχ οἷός τε ἦν. ἀνάγκη τοί γε νῦν ἐλθεῖν με ἐπὶ τὰ γράμματα παρακαλῶντα ὑμᾶς τοῦ ἐτελέσαι ὅσα ἄνωθεν εἴρηται, ἵνα καταξιωθῶμεν εὑρεῖν τινα τρόπον τοῦ καρπῶσαι ἐνώπιον κυρίου καὶ εὑρεῖν ἔλεος. θελήσατε αὐτῷ κατὰ τὸ εὐαγγέλιον τῆς αὐτοῦ βασιλείας ἧς γένοιτο πᾶσιν ἡμῖν ἐντυχεῖν ἐν χριστῷ ἰησοῦ ᾧ ἡ δόξα εἰς τοὺς αἰῶνας ἀμήν. συναινοῦντος καὶ ἐμοῦ γεωργίου κόμητος τοῦ κορινθίου, ὁ ἡμέτερος δεσπότης τὰ ἄνωθεν εἰρημένα γέγραφε

ὑμεῖς

ὑμεῖς ὀφείλειν δεῖ τῷ συμπονοῦντι καὶ συναλγοῦντι τοῖς ἡμῶν συμβάμασιν τε καὶ πάθεσιν καὶ τῷ ἑτοίμῳ ὄντι ὑπὲρ ὑμῶν παντὰ πόνον ὑπομεῖναι. ἔρρωσθε, καὶ Θεὸς ὁ πάντα κυβερνῶν εἰς ἀγαθὸν αὐτὰ μεταβάλοιτο.

Τιμιώτατε χαρτοφύλαξ τῆς ἁγιωτάτης τοῦ Θεοῦ μεγάλης ἐκκλησίας, καὶ ἡμέτερε ἐν ἁγίῳ πνεύματι πεποθητε. εὐχαὶ μοί εἰσιν ἐνδελεχεῖς εἰς Θεὸν, τοῦ ὑγιαίνειν τὴν νοῦ νεχειαν κατ' ἄμφω, εἰς ἡμέτερον πνεῦματι καὶ εὐφροσύνῃ ὑγραίνομαι καὶ αὐτὸς ἐλέει Θεοῦ ἀναγεαπτόντα τὴν ὑπεροχὴν εὐλαβέστατε ἐν τοῖς τῆς ψυχῆς περιφέρωδέλτοις, ὡς μήτε λέγειν ἢ γράφειν ἀμνημόνευτον τίθεναι. λαθοίμην γὰρ ἂν ἐμαυτοῦ, ἢ τῆς τοιαύτης χρυσῆς σειρᾶς ἐπιλήσομαι. ἐπειδὴ γνήσιον τε πάντοτε κατὰ πάντα κεκτήμεθα, ὡς μήτε λόγῳ, μήτ' ἔργῳ τὸν τοῦ Θεοῦ ἀπολιπεῖν, μὴ πρόθυμον εἶναι σοι τοῖς πράγμασι. διό γε μάλα μᾶλλον ἡμῖν ἀγαλματίζεσθαι πάρεστι τίους φίλους κεκτῆσθαι, οὓς ὁ τῆς καλοκαγαθίας ἔρως ἐκεκτήνατο. καὶ ὡς χρυσοῦν καὶ πολύολβον ἐγκόλπιον ἀειδήλως ἀπεδείξατο, οὓς καὶ Θεὸς εἴη πολυχρονίους διαφυλάττων καθὼς ἡμεῖς εὐχόμεθα ὡς ἂν οἱ φίλοι τὴν ἀλλήλων τηρῶσιν καλοήθειαν, ἢ τοῖς φίλαις χρεών, καὶ γάρ τοι ἀγαθῶν ἀγαθῶδες ἡ παροιμία φησί. ἀλλ' οὖν ὡς ἐρασμιώτατε, ἧς ἂν ἔχοις σχέσεως διατελῶν πρὸς ἡμᾶς,

μᾶς, μὴ κατόκνει πρὸς φίλους φιλτέρους φίλων, γράφειν, ἃ χρὴ χρεὼν εἰδέναι φίλοις, ἀλλ' ὡς τάχιστα τὴν ἄφιξιν ἡμῖν δήλωσιν, τοῦ οἰκουμενικοῦ δεσπότου. καὶ ὅπως τε ἔχων κυρεῖ. ἄγαν γὰρ ἡμεῖς ἐκ πάλαι καὶ μέχρι τοῦ νῦν ἐποθοῦμεν εἰδέναι ὁ ποτ' ἀφναίου καὶ τοῦτ' ἀπ' ἀρχῆς ἀπεκδεχόμεθα παρὰ σοῦ. πλὴν οὐκ οἶδ' ὅπως τοῦτ' οὐκ ἔλαχον, ζώοις τοιγαροῦν τὸν χρυσοῦν βίοντε καὶ εὐδαίμονα ἐπ' ἀπείρους λυκάβαντας. ἔρρωσο καὶ ἡμῶν ἐνάλλαξ φίλει, καὶ ὧν ἂν δέῃ, πρὸς οἰκίους θαρρῶν γράφε.

Καὶ εἰ ὁ πανογιώτατος ἡμῶν δεσπότης ἔλαβε τὸ παράτιον τῆς ἐπισκοπῆς θαυμακοῦ καθὸ ἐπροεγράφη, καθικετεύομεν δοῦναι αὐτὸ τοῖς μοναχοῖς τοῦ μετεώρου.

λασκάρης διονύσιος.

Ἐπιγραφή. Τῷ ἐντιμωτάτῳ μεγάλῳ χαρτοφύλακι τῆς ἁγιωτάτης τοῦ θεοῦ μεγάλης ἐκκλησίας τῷ ἐρασμίῳ καὶ κατὰ πάντα ἀρίστῳ φίλῳ, ἀνὰ χεῖρας δοθείη.

Διονυσίου τοῦ ἀδελφοῦ αὐτοῦ.

ΤΟ' μὲν εὖ ἔχειν σε ἐδήλωσεν ἡμῖν ἡ τῶν γραμμάτων σου παρουσία, ἐφ' ᾧ τὰ μέγιστα εὐφράνθημεν, καὶ τῆς ἀνίας ἐκουφίσθημεν; τὸ δ' οὔπω τὰς ἐπιστολὰς γράφειν, καὶ τοιούτῳ

σε

σε χαρακτῆρι χρᾶσθαι, καὶ μάλλ' ἀπαρέσκει μοι, παρὰ γὰρ τὸν κάνονα καὶ τῶν πάλαι θείων ἀνδρῶν ἐκείνων ῥυθμὸν, λιβανίου τέ φημι τοῦ πάνυ, καὶ βασιλείου τοῦ ἀξιαγάστου, καὶ συνεσίου τοῦ θεσπεσίου, δοκεῖ μοι τὰ τῆς ἐπιστολῆς. τοίνυν ὡς τάχιστα ἔκρεψον τὸν σαυτοῦ τρόπον, καὶ τὰς τῶν ἀττικῶν προσλάμβανε συλλαβὰς καὶ χρῶ τούτων τὰς λέξεις, φεῦγε δὲ τὰς τῶν ποιητῶν, ἃς μὲν τοῖς λόγοις θετέον, ἥκιστα δὲ τὰς ἐπιστολαῖς.

Ἐμοὶ μὲν, πανάγιώτατε δέσποτα, τὸ τοῖς ἡγουμένοις ὑπείκειν, ἄγαν προσφιλὲς, τοῖς δὲ αὐτῶν ἐντάλμασιν ἀόκνως τε καὶ προθύμως ὑπερετεῖν, πάνυ ποθεινόν. τοῦτο γάρ με παῦλος καὶ πέτρος οἱ κορυφαῖοι, αἰδεσίμως τε καὶ ἀκινήτως κατέχειντε καὶ τηρεῖν παραινοῦσι. καὶ σχεδὸν ὥσπερ κύκλος πρὸς κέντρον ἀφορᾶν. ἀλλ' ἐπεὶ πολλὰ μεταξὺ οὔρεάτε σκιόεντα, θάλασσάτε ἠχύεσα, ἄλλως τε δὲ καὶ δεός τι τῶν οὐ τυχόντων τῶν αὐτῶν κρατούντων ἐμποδῶν μοι ὑπάρχει, τοῦ μὴ εὐθὺς τὸ ἐντελλόμενόν σοι διανύσας, συγγνώμην τοῖς θέλουσι μὲν, μὴ δυναμένοις δὲ, παρασχεῖν ἡμῖν τὴν φιλάνθρωπόν σου καθικετεύομεν ψυχήν. εἰ δέ γέ τι τῶν ἀναγκαίων τῶν ὑμῶν ὑπερπαράττει ἡμετέραν τὴν ἐκκλησίαν φημὶ, ὥς τε καὶ τῶν ἡμετέρων χρήζειν, τῶν οἷον κώνωπος πρὸς ἐλέφαντα παραβαλλομένων, διὰ ἱεροῦ ἁγίου σου γράμματος ἡμῖν αὐτὸ δή-

δήλωσον, τοῖς τῶν πάντων ὑπερφρονῆσει γλιχομένοις καὶ ὡς ὑμᾶς ἀφῖξασθαι ὅσον τάχος εἰ καὶ φορτικὸν καὶ κινδῡνῶδες, πωόντι προαιρουμένοις. καὶ ταῦτα μὲν ἅλις. περὶ δὲ τῶν γραμμάτων τῶν τοῖς ἐνθαῦθα πεμφθέντων σοι τῇ τοῦ παρόντος ἑβδόμῃ ἐντίμως ἀναγνωσθῆναι ἐποιήσαμεν. ἔρρωσο, παναγιώτατε πατὲρ, ἡμῶν μνημονεύοις εἰλικρινῶς τοῖς ἡγουμένοις ὑπείκειν προαιρουμένων.

Superior Epiſtola ſcripta eſt, ni fallor, a *Gabriele Severo* Archiepiſcopo Philadelphiae. Vide ſuperius pag. 113.

Ὁσιώτατε κῦρ μελέτιε καὶ τῆς ἐμῆς ταπεινότητος υἱὲ ποθεινὲ, χάρις εἴη σοι καὶ εἰρήνη καὶ ἔλεως ἀπὸ θεοῦ παντοκράτορος. ἐλθόντων πρὸς ὑμᾶς ὅτε ἰωάννης, καὶ πέτρος, οἱ κύπριοι, καὶ τὸ μοναχικὸν σχῆμα δοθῆναι αὐτοῖς καθικετευσάντων, ἀσμένως αὐτοὺς προσεδέχθημεν, καὶ τὴν αἴτησιν αὐτῶν χριστῷ ἀρεσκομένην εἰδότες, καὶ τὸ ζέον τῆς ἀγάπης αὐτῶν καλῶς ἀνιχνεύσαντες, ῥασοφορεῖν αὐτοὺς ἐποιήσαμεν, καίπερ διετίαν διὰ πείρας τὰ τῆς μοναχικῆς πάντα διετέλουν, οἵγε καὶ προθύμως ὑποσχεθέντες ἄνευ τινὸς ἀναβολῆς, πρὸς τὴν τοῦ κατὰ διονυσίου μόνην τὴν ἐν τῷ ἁγίῳ ὄρει τυγχάνουσαν ἀπελθεῖν, καὶ τὰ ἐλλοίποντα τῆς μοναχικῆς ἐκπληρῶσαι διὰ τάξεως. ἀλλ' ἐπειδὴ

πό-

πορευόμενος . . . .
. . . .
. . . .
. . . .
. . . .
. . . .

Cetera desiderantur.

FINIS.





